This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Gp 75.191.2

Harvard College Library

FROM THE

CONSTANTIUS FUND

Established by Professor E. A. Sophocles of Harvard University for "the purchase of Greek and Latin books, (the ancient classics) or of Arabic books, or of books illustrating or explaining such Greek, Latin, or Arabic books." Will, dated 1880.)

Received 26 April, 1899.

# PINDARI CARMINA

CUM

# DEPERDITORUM FRAGMENTIS SELECTIS.

ITERUM RECOGNOVIT

Wilhelm von
W. CHRIST.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCXCVI.

Gp 75. 191.2

HARVARD COLLEGE
APR 26 1899
LIBRARY.

Constantius fund

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# PRAEFATIO

## EDITIONIS RECOGNITAE.

In editione minore Pindari carminum recognoscenda toti a maiore quae his ipsis diebus ex officina Teubneriana prodiit editione pependimus. Qua de causa si quis quas rationes in emendanda ac supplenda hac editione Bibliothecae Teubnerianae secuti simus accuratius cognoscere velit, eum ad Prolegomena maioris editionis delegamus. Hic paucis lineamentis adumbrare visum est, quibus rebus secundae hae curae a prioribus discrepent. Atque primum quidem apparatum criticum ita auximus, ut quae variae lectiones exstarent non compendiosa nota significaremus, sed quorum quaeque codicum fide niteretur diligenter referremus. Deinde fragmenta quo quodque loco traditum esset adnotavimus eorumque numerum receptis etiam iis, quibus non ipsa verba poetae sed sola versuum argumenta relata sunt, non mediocriter locupletavimus. Porro usui historicorum eorumque lectorum, qui non tam arte magnifica poetae animum delectare quam res ab eo tractatas cognoscere velint, ut consuleremus, et indicem nominum propriorum Pindari adiecimus et praeterquam quod carminibus Pindaricos fastos una cum vitis eius subtexuimus, in titulis singularum odarum, quo quaeque anno composita esse videretur, accurate quantum fieri potuit indicavimus. Denique in schematis notisque metricis nonnulla mutanda esse arbitrati sumus. Atque

syllabas ictu feriendas quod non iam in hac editione punctis notavimus vereor ut omnibus placeat; et profecto si dactylo-epitriticis numeris omnia carmina composita essent, nihil equidem mutassem; sed in colis logaoedicis de sede primarii ictus iudicia virorum musicorum adeo vacillant, ut non iam certis signis in rebus incertis uti voluerimus. Simili vero modo ne inconstantiae crimen incurram metuo, quod cum in hac editione syllabarum longarum trium pluriumve temporum notas adhibuissem, tamen solis in iis carminibus, quae a gradientibus choreutis cantata esse exploratum esset, tripodias ad ambitum binarum dipodiarum producere ausi simus. Sed in his spinis metricis aeque atque in oratione poetae coniecturis sollicitanda ut neque rationis lucem neque consilii audaciam fugimus, ita magis temeritatis quam timiditatis crimen vitandum esse duximus.

# ΕΠΙΝΙΚΟΙ

# ΟΛΥΜΠΙΟΝΙΚΑΙΣ.

## Α′.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙῼ

ΚΕΛΗΤΙ Ol. 77 = 472 a. Ch.

---

Strophae.



Schema metr.: lineis rectis colometria vetus codicum indicata est, virgulis caesura in omnibus strophis observata, linea obliqua in textu thesis pedis oppressa —

Epodi.



*Ἄριστον μὲν ὕδωρ, ὁ δὲ* *Στρ. α'.*
*χρυσὸς αἰθόμενον πῦρ*
*ἅτε διαπρέπει*
*νυκτὶ μεγάνορος ἔξοχα πλούτου·*
*εἰ δ' ἄεθλα γαρύειν*
*ἔλδεαι, φίλον ἦτορ,*
*μηκέτ' ἀελίου σκόπει*
*ἄλλο θαλπνότερον ἐν ἁμέ-*
*ρᾳ φαεννὸν ἄστρον ἐρή-μας δι' αἰθέρος,*
*μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐ- δάσομεν·*
*ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται*
*σοφῶν μητίεσσι, κελαδεῖν*
*Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους*
*μάκαιραν Ἱέρωνος ἑστίαν,*

*θεμιστεῖον ὃς ἀμφέπει* *Ἀντ. α'.*
*σκᾶπτον ἐν πολυμήλῳ*

---

LECTIONES VARIAE notatae sunt codicum *A* = Ambros. C 222, continet O. I—XII, *B* = Vatic. 1312, cont. O. I — I. VIII cum lacunis O. I 1—22. 47—68. V 9—24. P. I 1—II 56. I. V 58—VI 24. VIII 19—38. 64—77. *C* = Paris. 2774, cont. O. I — P. V 51, *D* = Medic. 32, 52, cont. O. I — fr. I — 3. *γαρύεν ACD* — 10. *ἱκομένους AD* et schol.: *ἱκόμενοι C*, *ἱκομένοις Byz.* — 12. *πολυμήλῳ* Thomas: *πολυμάλῳ ACD* —

Σικελίᾳ, δρέπων
μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν.
ἀλλὰ Δωρίαν ἀπὸ φόρ-μιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενί- κου χάρις
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Συρακόσιον ἱπποχάρ- 'Επ. α'.
μαν βασιλῆα. λάμ-πει δέ ϝοι κλέος
ἐν εὐάνορι Λυ-
δοῦ Πέλοπος ἀποικίᾳ·
τοῦ μεγασθενὴς ἐράσσατο γαι- άοχος
Ποσειδᾶν, ἐπεί
νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ
ἐλέφαντι φαίδιμον ὦ-μον κεκαδμένον.
ἦ θαυματὰ πολλὰ καί-πού τι καὶ βροτῶν
φάτις ὑπὲρ τὸν ἀλα-θῆ λόγον·
δεδαιδαλμένοι - ψεύδεσι ποικίλοις
ἐξαπατῶντι μῦθοι.

---

23. συρακόσιον v. l. schol.: συρακουσίων *ABC*, συρακοσίων *D* — ἱπποχ. lemma *B*: ἱππιοχ. *ABCD* — 24. ἐν *AB*, om. *CD*, παρ' *Byz.* — εὐάνορος *DA*$^{s}$*C*$^{s}$ — ἐποικίᾳ v. l. schol. — 26. ἔξελε Mosch.: ἐξεῖλε *ABCD* — 28. τι καί: καί (omisso τι) *B* — 29. φάτις *ABCD*: φρένας *Byz.*, φάτιν Boeckh. —

*Χάρις δ', ἅπερ ἅπαντα τεύ-* Στρ. β'.
*χει τὰ μείλιχα θνατοῖς,*
*ἐπιφέροισα τι-*
*μὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν*
*ἔμμεναι τὸ πολλάκις.*
*ἁμέραι δ' ἐπίλοιποι*
*μάρτυρες σοφώτατοι.*
*ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς*
*ἀμφὶ δαιμόνων καλά· μεί-ων γὰρ αἰτία.*
*υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων-φθέγξομαι,*
*ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον*
*ἐς ἔρανον φίλαν τε Σίπυλον,*
*ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,*
*τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι*

*δαμέντα φρένας ἱμέρῳ,* Ἀντ. β'.
*χρυσέαισιν ἀν' ἵπποις*
*ὕπατον εὐρυτί-*
*μου ποτὶ δῶμα Διὸς μεταβᾶσαι·*
*ἔνθα δευτέρῳ χρόνῳ*
*ἦλθε καὶ Γανυμήδης*
*Ζηνὶ τωὔτ' ἐπὶ χρέος.*
*ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ*
*ματρὶ πολλὰ μαιόμενοι- φῶτες ἄγαγον,*
*ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν-γειτόνων,*
*ὕδατος ὅτι σε πυρὶ ζέοισαν εἰς ἀκμὰν*
*μαχαίρᾳ τάμον κατὰ μέλη,*

---

31. ἅτεπερ *D* — 35. μάρτυροι *D* — σαφέστατοι coni. Hecker coll. *O* VI 20 — 42. ἀν' *AB*: κἀν *CD*, τ' ἀν' coni. Schmid — 48. φθονερῶν τε *C* — 49. σε: τε codd. — εἰς ex schol. Mommsen: ἐπ' *ACD* ἀμφ' Mosch. —

*τραπέζαισί τ' ἀμφιδεύματα κρεῶν*
*σέθεν διεδάσαντο καὶ φάγον.*

*ἐμοὶ δ' ἄπορα γαστρίμαρ-* 'Επ. β'.
*γον μακάρων τιν' εἰ-πεῖν. ἀφίσταμαι.*
*ἀκέρδεια λέλογ-*
*χεν θαμινὰ κακαγόρους.*
*εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμ-που σκοποὶ*
*ἐτίμασαν, ἦν*
*Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι*
*μέγαν ὄλβον οὐκ ἐδυνάσ-θη, κόρῳ δ' ἕλεν*
*ἄταν ὑπέροπλον, ἅν-ϝοι πατὴρ ὕπερ*
*κρέμασε καρτερὸν αὐ-τῷ λίθον,*
*τὸν αἰεὶ μενοι-νῶν κεφαλᾶς βαλεῖν*
*εὐφροσύνας ἀλᾶται.*

*ἔχει δ' ἀπάλαμον βίον* Στρ. γ'.
*τοῦτον ἐμπεδόμοχθον,*
*μετὰ τριῶν τέταρ-*
*τον πόνον, ἀθανάτων ὅτι κλέψαις*
*ἁλίκεσσι συμπόταις*
*νέκταρ ἀμβροσίαν τε*
*δῶκεν, οἷς νιν ἄφθιτον*
*θέσσαν. εἰ δὲ θεὸν ἀνήρ τις*
*ἔλπεται λελαθέμεν ἔρ-δων, ἁμαρτάνει.*

---

51. *τ'* om. *D* — *ἀμφιδεύματα* $V^{ac}$: *ἀμφιδεύτατα ACDE*, *ἀμφίδευτα* v. l. schol., *ἀμφίδευρα* i. e. *ἀμφὶ δεύτερα Athen.* 641 c — 53. *ἄπορα Byz.*: *ἄπορον ACD* — 54. *κακαγόρους* $C^1D$: *κακαγόρος* $AC^2$ — 58. *ἅν* coni. Hermann: *τάν ACD* — 61. *ἀπάλαμον Byz.*: *ἀπάλαμνον ACD* — 63. *οἷς νιν* coni. M. Schmidt: *οἷσιν AD*, *οἷς C* — 66. *θέσσαν Byz.*: *θέσαν αὐτὸν ACD*, *θέν νιν* Mommsen — *λελαθέμεν* coni. Mommsen: λαθέμεν AC, ληθέμεναι D,

*τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί-Ϝοι πάλιν*
*μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.*
*πρὸς εὐάνθεμον δ' ὅτε φυὰν*
*λάχναι νιν μέλαν γένειον ἔρεφον,*
*ἑτοῖμον ἀνεφρόντισεν γάμον,*

*Πισάτα παρὰ πατρὸς εὔ-* *'Αντ. γ'.*
*δοξον Ἱπποδάμειαν*
*σχεθέμεν. ἐγγὺς ἐλ-*
*θὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ*
*ἄπυεν βαρύκτυπον*
*Εὐτρίαιναν· ὁ δ' αὐτῷ*
*πὰρ ποδὶ σχεδὸν φάνη.*
*τῷ μὲν εἶπε· Φίλια δῶρα*
*Κυπρίας ἄγ' εἴ τι, Ποσεί-δαον, ἐς χάριν*
*τέλλεται, πέδασον ἔγχος Οἰνομάου-χάλκεον,*
*ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων*
*ἐς Ἆλιν, κράτει δὲ πέλασον·*
*ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις*
*ματῆρας ἀναβάλλεται γάμον*

*θυγατρός. ὁ μέγας δὲ κίν-* *'Επ. γ'.*
*δυνος ἄναλκιν οὐ- φῶτα λαμβάνει.*
*θανεῖν δ' οἷσιν ἀνάγ-*
*κα, τί κέ τις ἀνώνυμον*

---

*τι λασέμεν Byz.*; fort. *τι Ϝέλπ. λελαθέμεν* — 67. *οἱ* quod in vett. codd. post *τοὔνεκα* legitur, post *ἀθάνατοι* transpos. Tricl. — 69. *δ'* om. $C^1$ — 73. *ἐγγὺς* Bergk: *ἐγγὺς δ' ABCD* et schol., *ἄγχι δ' Byz.* — 75. *εὐτρίαιναν Byz.*: *εὐρυτρίαιναν ABCD* — 77. *εἴ τοι C* — 78. *ἔγχος*: *ἔντος* Ammonius — 80. *αὖλιν C* — 82. *ματῆρας* coni. Bergk: *μναστῆρας* (*μνηστ. D*) *ABCD*, *ἐρῶντας Byz.* et Philostr. imag. I 30 — 84. *τί* $B^2C^2D$ et schol.: *τά* $AB^1C^1$ —

γῆρας ἐν σκότῳ καθήμενος ἕ-ψοι μάταν,
ἁπάντων καλῶν
ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶ-ξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράν-τοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλ-λων θεὸς
ἔδωκεν δίφρον-τε χρύσεον πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

ἕλεν δ' Οἰνομάου βίαν — Στρ. δ'.
παρθένον τε σύνευνον·
ἃ τέκε λαγέτας
ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πο-
λυξενωτάτῳ παρὰ βω-μῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων- ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰ- — Ἀντ. δ'.
εὶ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται
παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι

---

90. τε om. *C* — 92. ἃ τέκε *ABCD*: τέκε τε vel τέκε δὲ *Byz.* — μεμαότας *ABCD* et schol.: μεμαλότας *Byz.* — 99. ἀκμαί: ἀκμά *A* — 100. ἀμφιβόητον *A* — 102. γ' om. *CD* — 103. βροτῷ $D^2$: βροτῶν $ABCD^1$ — στεφανῶται B et glossa

*τοὕνεκα προῆκαν υἱὸν ἀθάνατοί-Ϝοι πάλιν*
*μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.*
*πρὸς εὐάνθεμον δ' ὅτε φυὰν*
*λάχναι νιν μέλαν γένειον ἔρεφον,*
*ἑτοῖμον ἀνεφρόντισεν γάμον,*

*Πισάτα παρὰ πατρὸς εὔ-* 'Αντ. γ'.
*δοξον Ἱπποδάμειαν*
*σχεθέμεν. ἐγγὺς ἐλ-*
*θὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ*
*ἄπυεν βαρύκτυπον*
*Εὐτρίαιναν· ὁ δ' αὐτῷ*
*πὰρ ποδὶ σχεδὸν φάνη.*
*τῷ μὲν εἶπε· Φίλια δῶρα*
*Κυπρίας ἄγ' εἴ τι, Ποσεί-δαον, ἐς χάριν*
*τέλλεται, πέδασον ἔγχος Οἰνομάου-χάλκεον,*
*ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων*
*ἐς Ἆλιν, κράτει δὲ πέλασον·*
*ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις*
*ματῆρας ἀναβάλλεται γάμον*

*θυγατρός. ὁ μέγας δὲ κίν-* 'Επ. γ'.
*δυνος ἄναλκιν οὐ- φῶτα λαμβάνει.*
*θανεῖν δ' οἷσιν ἀνάγ-*
*κα, τί κέ τις ἀνώνυμον*

---

*τι λασέμεν Byz.*; fort. *τι Ϝέλπ. λελαθέμεν* — 67. *οἱ* quod in vett. codd. post *τοὕνεκα* legitur, post *ἀθάνατοι* transpos. Tricl. — 69. *δ'* om. $C^1$ — 73. *ἐγγὺς* Bergk: *ἐγγὺς δ' ABCD* et schol., *ἄγχι δ' Byz.* — 75. *εὐτρίαιναν Byz.*: *εὐρυτρίαιναν ABCD* — 77. *εἴ τοι C* — 78. *ἔγχος*: *ἔντος* Ammonius — 80. *αὖλιν C* — 82. *ματῆρας* coni. Bergk: *μναστῆρας* (*μνηστ. D*) *ABCD*, *ἐρῶντας Byz.* et Philostr. imag. I 30 — 84. *τί* $B^2C^2D$ et schol.: *τά* $AB^1C^1$ —

γῆρας ἐν σκότῳ καθήμενος ἕ-ψοι μάταν,
ἁπάντων καλῶν
ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶ-ξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ' ἀκράν-τοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλ-λων θεὸς
ἔδωκεν δίφρον-τε χρύσεον πτεροῖ-
σίν τ' ἀκάμαντας ἵππους.

ἕλεν δ' Οἰνομάου βίαν Στρ. δ'.
παρθένον τε σύνευνον·
ἃ τέκε λαγέτας
ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ' ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πο-
λυξενωτάτῳ παρὰ βω-μῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων- ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰ- Ἀντ. δ'.
εὶ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται
παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι

---

90. τε om. *C* — 92. ἃ τέκε *ABCD*: τέκε τε vel τέκε δὲ *Byz.* — μεμαότας *ABCD* et schol.: μεμαλότας *Byz.* — 99. ἀκμαί: ἀκμά *A* — 100. ἀμφιβόητον *A* — 102. γ' om. *CD* — 103. βροτῷ *D*[2]: βροτῶν *ABCD*[1] — στεφανῶται B et glossa.

κεῖνον ἱππείῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε
ϝίδριν, ἀλλὰ καὶ δύναμιν- κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμ-νων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

σὺν ἅρματι θοῷ κλεΐ- Ἐπ. δ'.
ξειν, ἐπίκουρον εὑ- ρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλ-
θὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλ-κᾷ τρέφει.
ἐπ' ἄλλοισι δ' ἄλ-
λοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπ-ταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑ-ψοῦ χρόνον πατεῖν,
ἐμέ τε τοσσάδε νι-καφόροις
ὁμιλεῖν, πρόφαν-τον σοφίᾳ καθ' Ἕλ-
λανας ἐόντα παντᾷ.

---

in *A* — 107. *μή τιν'*: *μήτι γ' D* — *ἀλλὰ καὶ* coni. Hermann: *ἅμα καὶ ABCD*, *ἄλλον ἢ* Mosch. — *καιριώτερον A* — 110. *τωὐτὸ* Goram — *κῦδος C* — 112. *γλυκερωτέραν D* — 113. *κλεΐξειν A*(?)*C*: *κλεΐζειν BD* — 115. *ἀλκὰν D* — 116. *ἐπ'* ex schol. *Byz.*: *ἐπ'* om. *ABCD* — fort. *ἄλλοισιν ἄλλοι* sine *δέ* — 118. *τοῦτον*: *λοιπὸν* coni. Herwerden — *ὑψοῖς D*.

ΟΛΥΜΠ. Β'

# ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝῼ

ΑΡΜΑΤΙ Ol. 76 = 476 a. Ch.

---

### Strophae.

⏑ –́ ⏑ – –́ ⏑ – ⏓ |
⏑ ⏖ –́ ⏑ – –́ ⏑ | ⏖ –́ ⏑ ⏖ –́ ⏑ ⏓ |
– –́ ⏑ – –́ ⏑ ⏑ | ⏑ –́ ⏑ ⏔ –́ –́ | ⏑ – ⏖́ ⏑ ⏓ |
–́ ⏑ – ⏖́ ⏑ ⏓ |
– –́ ⏑ ⏖ –́ ⏑ – | ⏖́ ⏑ – –́ ⏑ ⏓ |
⏑ – –́ ⏑ ⏖ –́ | ⏑ ⏔ –́ ⏑ ⏓ |
⏑ –́ – ⏑ –́ – |
– –́ ⏑ – ⏖́ ⏑ – | ⏑ –́ ⏑ –⏑ ⏑ ⏓ |

### Epodi.

– –́ ⏑ – –́ ⏑ ⏔ –́ ⏑ ⏓ |
–́ ⏑ – ⏑ – ⏖́ ⏑ – | ⏑ – –́ ⏑ – ⏓ |
⏖́ ⏑ – –́ ⏑ – | ⏑ – ⏖́ ⏑ – –́ ⏑ ⏓ |
– –́ ⏑ – –́ ⏑ ⏔ –́ ⏑ ⏖ –́ ⏓ |
⏒ –́ ⏑ ⏖ –́ ⏑ – | –́ ⏑ – ⏓
⏑ –́ ⏑ – ⏑ –́ ⏓ |

---

Schema metr.: numeri uncinis inclusi sunt editionis Boeckhianae secundae —

Ἀναξιφόρμιγγες ὕμνοι, Στρ. α'.
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔσ-
 τασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπιν δίκαιον ξένων,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

καμόντες οἳ πολλὰ θυμῷ Ἀντ. α'.
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰὼν δ' ἔφεπε μόρσιμος, πλοῦ-
 τόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων Ἐπ. α'.
ἐν δίκᾳ τε καὶ
 παρὰ δίκαν ἀποί- ητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναι-
 το θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.

---

2. *τίνα δ' ἠρ A* — *τίν' ἄνδρα CD* — 4. *ἀκροθίνια C* — 5. *δὲ* om. *A* — *νικαφόροις* $C^1$ — 6. *ὄπιν δικ. ξένων* coni. Hermann: *ὀπὶ δικ. ξένον* codd. — 8. *ὀρθόπτολιν AD* — 11. *δ' ἔφ. ACD*: *τ' ἔφ. B* — *μόρσιμος ἐπ' ὄλβον* coni. Heyne, *μοιρίδιος ὄλβον* *Schwickert* — *18. τε* om. *C* — *ἂν* om. *A* —

ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

ὅταν θεοῦ Μοῖρα πέμπῃ Στρ. β'.
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πέν-
θος δ' ἔπιτνεν βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ νιν Παλλὰς αἰεὶ
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ Ἀντ. β'.
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤ-
τοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἡσύχιμον ἁμέραν πότερα, παῖδ' ἀελίου,
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώιον Ἐπ. β'.
τῶνδ' ἔχει τὸν εὔ-
φρονα πότμον, θεόρ-τῳ σὺν ὄλβῳ

23. πέμψῃ *A* — 24. δ' ὁ λόγος Hartung — 25. πάθον *A* — δ' ἔπιτνεν Hermann: δὲ πιτνεῖ codd. — 28. φιλέοντι δὲ μοῖσαι (μοῦσαι *A*) post ἀεὶ addunt *ABCD*, eiec. Aristophanes grammaticus — 30. ante μάλα interpunxit Bergk — 33. βροτῷ coni. Naber — γε om. *B* — 34. πεῖρας *Byz.*: πέρας *ABCD* — 35. πότερα coni. Herwerden: ὁπότε codd. et schol. — 37. δ' *BCD*: τ' *A* — 40. τόνδ' $C^1$ —

*ἐπί τι καὶ πῆμ' ἄγει παλιν-*
*τράπελον ἄλλῳ χρόνῳ·*
*ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱὸς*
*συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν*
*παλαίφατον τέλεσσεν.*

*ἰδοῖσα δ' ὀξεῖ' Ἐρινὺς* *Στρ. γ'.*
*ἔπεφνέ ϝοι σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον·*
*λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνεί-*
*κει, νέοις ἐν ἀέθλοις*
*ἐν μάχαις τε πολέμου*
*τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·*
*ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει*
*τὸν Αἰνησιδάμου*
*ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.*

*Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς* *Ἀντ. γ'.*
*γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν*
*Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίπ-*
*πων δυωδεκαδρόμων*
*ἄγαγον. τὸ δὲ τυχεῖν*
*πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.*
*ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος*
*φέρει τῶν τε καὶ τῶν*
*καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,*

---

41. *ἄλλος χρόνος* $A^1$ — 42. *μόριμος* Tricl.: *μόρσιμος* *ABCD*, utrumque agnoscunt schol. — 45. *ἐριννὺς* *ABCD* — 46. *ἔπεφνε* Tricl.: *πέφνε* (*πέφνεν* *A*) *ABCD* — 47. *νέων* coni. Herwerden — 49. *Ἀδραστειδ.* *ABCD* — *δόμοιο* *A* — 50. *ἔχοντα* Aristarchus (?) et $E^2$: *ἔχοντι* $ABCDE^1$, quam lectionem Didymus probavit puncto post *ῥίζαν* posito — 52. *λυρᾶν τυγχ.* (omisso *τε*) *D* — 57. *παραλ. δυσφρ.* Tricl.: *δυσφρ. παραλ.* *ABCD* — *δυσφρονᾶν* *coni. Dindorf*: *δυσφροσύναν* *ABCD* — 59. *τε*: *δε* *A* —

ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον 'Επ. γ'.
ἀνδρὶ φέγγος· εἴ
γέ νιν ἔχων τις οἶ-δεν τὸ μέλλον,
ὅτι θανόντων μὲν ἐνθάδ' αὔ-
τις ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

ἴσ' ἐν δὲ νύκτεσσιν αἰεί, Στρ. δ'.
ἴσα δ' ἐν ἁμέραις ἅλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσ-
σοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν οἵτινες ἔχαιρον εὐορκίαις
ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

ὅσοι δ' ἐτόλμασαν ἐστρὶς 'Αντ. δ'.
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου
τύρσιν· ἔνθα μακάρων

---

62. εἴ γε coni. Boeckh; εἰ δὲ codd., εὖτε Hermann, εὖ δέ νιν ἔχων τις οἴσει Herwerden — 63. αὖτις coni. Rauchenstein: αὐτίκ' codd. et schol. — 64. τᾷ διὸς *C* — 66. ἐχθρὰ $A^{ac}$ — ἀνάγκα *A* et schol. — 67. ἴσαις δὲ νύκτ. (ἴσαις δὲ ἐν νυκτ. *B*) . . . ἴσαις δ' ἐν ἁμ. codd. vett. et schol., ἴσ' ἐν δὲ . . . ἴσα δ' ἐν ἁμ. coni. Schwickert — 69. δέκονται *A*: δέρκονται *BCD*, νέμονται *Byz.* — χαράσσοντες coni. Naber — ἀλκᾷ *B*; ἀλκᾷ χερῶν Mosch. — 71. κεινὰν Mosch.: κενεὰν *ABCD* — ταμίοις *B*, τίμιοι coni. Thiersch; παρὰ τιμαόροις Hartung — 74. τοῖς δ' scholia cum lemmate cod. *A* — ἀπροσόρατον *ABD*: ἀπροσούρατον *C*, ἀπροόρατον $O^1$ — ἐκχέοντι *A* — 76. ἑκάτερθε $C^1$ — ἐχέμεν *C* — 77. ἔτειλαν Tricl. et schol.: ἔστειλαν ABCD

νάσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κροτάφους

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, 'Επ. δ'.
ὃν πατὴρ ἔχει
μέγας ἑτοῖμον αὐ-τῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας ὑπέρ-τατον ἐχοίσας θρόνον.
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας Στρ. ε'.
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγ-
κῶνος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ ϝειδὼς φυᾷ·
μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον

---

78. *νᾶσος* Tricl. et paraphr.: *νᾶσον ABCD* — 79. *περιπνέοισαν B* — 82. *κροτάφους* coni. Karsten: *στεφάνους ABC¹D*, *στεφάνοις C² Byz.*; *κεφαλάς* coni. Pauw — 83. *βουλαῖς ἐν ὀρθαῖσι AB*: *βουλαῖσιν ὀρθαῖσι C*, *βουλαῖς ὀρθαῖσι D* — 84. *μέγας* coni. Pauw: *γᾶς* (*γῆς AC²*) *ABCD*, *Κρόνος* Tricl., *χθονὸς* Mommsen, *Διὸς* Mommsen², *ὅν τε Γᾶς ἔχει πάϊς* ipse tentaveram — 85. *πόσιος* Aristarchus — *ὑπέρτατον* Tricl.: *ὕπατον ABCD* — *ἐχοίσας παῖς θρόνον ABCD*, *παῖς* eiec. Tricl. — 89. *ἕκτορα σφάλε A* — 90. *εὔμαχον A* — 96. *γαρύετον* codd. et schol.: *γαρύεται coni. Mommsen* —

*Διὸς πρὸς ὄρνιχα θεῖον.* 'Αντ. ε'.
*ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν*
(90) *ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας. ὀισ-*
*τοὺς ἱέντες; ἐπί τοι*
*'Ακράγαντι τανύσαις*
*αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,*
*τεκεῖν μή τιν' ἑκατόν γε Ϝετέων πόλιν*
*φίλοις ἄνδρα μᾶλλον*
*εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα*

*Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος* 'Επ. ε'.
(96) *οὐ δίκᾳ συναν-*
*τόμενος, ἀλλὰ μάρ-γων ὑπ' ἀνδρῶν,*
*τὸ λαλαγῆσαι θέλων κρύφον*
*τιθέμεν ἐσλῶν καλοῖς*
*ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,*
(99) *καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,*
*τίς ἂν φράσαι δύναιτο;*

---

101. *αὐδάσομεν* $B^1$ — *ὅρκιον* *C* — 102. *γ'*: *τ'* $C^{ac}$ — 104. *τε πραπ.* *A* — 107. *κρύφον* Aristarchus: *κρύφιον* *ABCD* — *τιθέμεν* coni. Hermann: *τε θέμεν* *ABCD* — *ἐσλῶν καλοῖς* Aristarchus: *ἐσλὸν κακοῖς* *ABCD* — 108. *περιφεύγει* *A* — 109. *κἀκεῖνος* *ABCD*.

*ἤδη γὰρ αὐτῷ πατρὶ μὲν βωμῶν ἁγισθέντων διχό-*
*μηνις ὅλον χρυσάρματος*
*ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα·*

*Ἀντ. β'.*

*καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ*
*θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·*
*ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρο-*
*νίου Πέλοπος.*
*τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν*
*αὐγαῖς ἀελίου.*
*δὴ τότ' ἐς γαῖαν πόρευεν θυμὸς ὁρμᾷ*

*Ἐπ. β'.*

*Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ*
*δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμ-*
*πτων μυχῶν,*
*εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν*
*χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα*
*ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱεράν.*

*Στρ. γ'.*

*τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν*
*Βορέα*
*ψυχροῦ. τόθι δένδρεα θάμβαινε σταθείς.*

---

19. *αὐτῷ B*: *αὐτῶ ACD*, *αὐτοῦ πατρὸς* $C^{s}$, *αὐτῷ* et *αὐτοῦ* schol. — 21. *μεγάλαν A* — 23. *δένδρ' D* — 25. *πορεύεν A*: *πορεύειν BCD* — *ὁρμᾷ*: *ὧρμα A*, *ὧρμαιν' BCD*, *πόρευ' ἔνθυμος ὁρμά* coni. M. Schmidt — 26. *Ἰστρίαν νιν ABCD*: *Ἰστρία νιν* Aristarchus interpunctione in fine antistrophae posita — 29. *χρυσεόκ. A* — fort. *ἄξειν* — 30. *Ὀρθωσίας* coni. Ahrens — 31. *ἴδε* $C^{ac}$ *D*: *εἶδε AB*$C^{pc}$ — *κἀκεῖν. ABCD* — *πνοιαῖς ABCD*: *πνοιᾶς* ed. Rom.

τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ
τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος
ἀντιθέοισιν νίσσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γ.

τοῖς γὰρ ἐπέτραπεν Οὐλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα
νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πὰρ θυμὸς ὀτρύνει φάμεν
Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος, εὐίππων διδόντων Τυνδαρι-
δᾶν, ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γ'.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοι-
έστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἔστι σοφοῖς
ἄβατον
κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.

---

33. περὶ om. $C^{ac}$ — 34. εἰς *A* — νίσεται *ABCD* — 35. διδύμνοις coni. Hermann: διδύμοις *A*, διδύμοισι *BCD* — 36. ἐπέτρεπεν *CD* — 37. ῥιψαρμάτου schol. — 38. πὰρ coni. Boeckh: πᾶ (πα $A^{pc}D$) *ABCD* et schol., καὶ coni. Schroeder — 39. κῦδος γ' *A* — 40. ξεν. *ABCD* — 42. αἰδοιέστατος *A* — 43. γε *BC*: δὲ *AD* — 45. μιν (νιν $C^1$) $C^1D$: μὴν *A* (c. glossa δὴ) $BC^2$, μὴ $C^3$ — κεῖνος $D^{ac}$ et v. l. schol.; κεινὸν οἶμον coni. Herwerden. —

ΟΛΥΜΠ. Δ'.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι Ol. 82 = 452 a. Ch.

---

## Strophae.

⏖ –́ ⏑ –⏑ ⏑ –́ –|⏑ ⏑ –́⏑ ⏑ –,| –́ ⏑ – ⏑ –́ ⏓|
⏑ ⏑ –⏑ ⏑ –́ –⏑ ⏑ –́ –|⏑ –́⏑ ⏑ – ⏑ –́ ⏓|
–́ –⏑ ⏑ –́ –⏑ ⏑ –́ –|
–́ – –́ – –́ –
⏑ –́ ⏑|– ⏑ –́⏑ ⏑ –|⏑ –́ ⏑ – ⏑ –́ ⏓|
–́ – ⏑ –́⏑ ⏑ – –́ ⏑ –|
–́ ⏑ –⏑ ⏑ –́ ⏖ ⏑ –́|⏑ ⏑ –
–́ – ⏑ –́ ⏑ ⏓|
–́ –⏑ ⏑ –́ –|
⏒ –́,⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏓|

## Epodi.

– –́⏑ ⏑ – ⏑ –́ ⏓|
–́⏑ ⏑ – ⏑ –́ –|
⏑ –́ ⏑ – ⏑ –́ ⏑ –|
–́ –⏑ ⏑ –́⏑ ⏑ – –́|⏑ ⏓
⏑ –́ ⏑ –⏑ ⏑ –́ –|⏑ –́ ⏑ ⏖ ⏑ –|
–́⏑ ⏑ –⏑ ⏑ –́ ⏓|
–́ –⏑ ⏑ –́⏑ ⏑ ⏓|
⏑ –́ – ⏑ –́ ⏑ –|⏑ –́ ⏑ ⏓
⏖ –́|⏑ ⏑ – ⏖́ ⏑ –⏑ ⏑ –́|⏑ – ⏑ –́ ⏑ ⏓|

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Στρ.
Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
ξείνων δ' εὖ πρασσόντων,
ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα
Τυφῶνος ὀβρίμου,
Οὐλυμπιονίκαν
δέξαι Χαρίτων ἕκατι τόνδε κῶμον,

χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ἀντ.
Ψαύμιος γὰρ ἵκει
ὀχέων, ὃς ἐλαίᾳ στεφανωθεὶς
Πισάτιδι κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς·
ἐπεί νιν αἰνέω μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις
καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ
γνώμᾳ τετραμμένον.

---

6. ὦ om. *ABCD*, add. N Tricl. — 7. ἵππον $AC^m$ — ὀβρ. *ABD*: ὀμβρ. *C*; cf. P. IX 27 — 9. οὐλ. *Byz.*: ὀλ. *ABCD* — 10. δέξαι *ABCD*: δέκευ Tricl. — χάριτων ἕκατι Tricl.: χαρίτων γ' ἕκατι *A*, χαρίτων θ' ἕκατι *BCD* et schol. — τόνδε καὶ ὦμον $C^{ac}$ — 11. ὕμνον χρονιώτατον *A* — Ψαύμιδος Tricl. et schol. — ἵκει *BC*: ἥκει *AD* — 12. ante ὀχέων interpunxit Wiskemann — 17. φιλόπτολιν *A* —

*οὐ ψεύδεϊ τέγξω*
*λόγον· διάπειρά τοι βροτῶν ἔλεγχος·*

*ἅπερ Κλυμένοιο παῖδα* 'Επ.
*Λαμνιάδων γυναικῶν*
*ἔλυσεν ἐξ ἀτιμίας.*
*χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον*
*ἔειπεν Ὑψιπυλείᾳ*
*μετὰ στέφανον ἰών·*
*Οὗτος ἐγὼ ταχυτᾶτι·*
*χεῖρες δὲ καὶ ἦτορ ἴσον.*
*φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν*
*πολιαὶ θαμὰ καὶ*
*παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον.*

---

21. ἅπερ $AD^{ac}$: ἅτε *C*, ἅπερ καὶ $BD^{pc}$ — 26. οὗτος μὲν ἐγὼ *A* — οὗτος ἐγώ· ταχυτᾶτι χεῖρες Gurlitt interpunxit — 27. χερ. *C* — 29. θαμὰ καὶ *BCD* et schol.: θαμάκι *A* — ἀλικίαις *A*.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

ΑΠΗΝΗι Ol. 82 = 452 a. Ch.

---

Strophae.

⏒ – –⏑ ⏑ – –|⏑ ⏑ – ⏑ – ⏒ ⏑ ⏓|
⏒ – –⏑ ⏑|–⏑ ⏑ –⏑ ⏑ – | ⏒ ⏑ – ⏑ – ⏓|
⏑⏑–⏑ ⏑ – ⏑ – – ⏑ – | ⏒ ⏑ – ⏑ – ⏓

Epodi.

⏒ – –⏑ ⏑ –⏑ ⏑ –⏑ ⏑|– ⏑, ⏒ ⏑ – ⏑|– ⏓
⏒ – –⏑ ⏑ –⏑ ⏑|–⏑ ⏑ – ⏒ ⏑ – – ⏑ –| ⏒ ⏑ – ⏑ – ⏓|

*Ὑψηλᾶν ἀρετᾶν* *Στρ. α'.*
*καὶ στεφάνων ἄω-τον γλυκὺν*
*τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ,*
*καρδίᾳ γελανεῖ*
*ἀκαμαντόποδός τ' ἀπή-νας δέκευ*
*Ψαύμιός τε δῶρα·*

*ὃς τὰν σὰν πόλιν αὔ-* *Ἀντ. α'.*
*ξων, Καμάρινα, λα-οτρόφον*

---

2. *οὐλ.* *Byz.*: *ὀλ.* *ABCD* — 4. *καμάρινα* Tricl. et fortasse iam Aristarchus: *καμάριναν* *ABCD* —

βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορ-
ταῖς θεῶν μεγίσταις,
ὑπὸ βουθυσίαις ἀέθ-λων τε πεμ-
παμέροις ἁμίλλαις,

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε· 'Επ. α'.
τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄ-
κρων' ἐκά-ρυξε καὶ
τὰν νέοικον ἕδραν.

ἵκων δ' Οἰνομάου Στρ. β'.
καὶ Πέλοπος παρ' εὐ-ηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε Ὤ-ανον, ἐγ-
χωρίαν τε λίμναν,

καὶ σεμνοὺς ὀχετούς, 'Αντ. β'.
Ἵππαρις οἷσιν ἄρ-δει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως
ὑψίγυιον ἄλσος,
ὑπ' ἀμαχανίας ἄγων - ἐς φάος
τόνδε δᾶμον ἀστῶν.

αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε 'Επ. β'.
μάρναται πρὸς ἔργον

5. *ἐγέραρεν C*: *γέραρεν BD*, *ἐγέραιρεν A* — 6. *πεμπαμέροις* Tricl.: *πεμπταμέροις ABCD*, *πενθαμέροις E*, *πεμπαμέρους ἅμιλλας* Bergk — 9. *ἥκων A* — *εὐηλάτων CD* — 10. *ἀείδει*: *ἀέξει* coni. Hecker — 11. *Ὤανον* $A^{ac}$ et *Byz.*: *ὄανον* $A^{pc}D$, *ὄανιν C*, *Ἴανον* coni. Pais — 13. *κολλᾷ δὲ* Bergk — *ὑψίγυον AD* — 14. *ὑπ' ACD*: *ἀπ'* Tricl. — *ἀμαχανίαις* $C^{ac}$ —

*κινδύνῳ κεκαλυμμένον· ἠὺ δ' ἔχον-*
*τες σοφοὶ - καὶ πολί-*
*ταις ἔδοξαν ἔμμεν.*

*Σωτὴρ ὑψινεφὲς* Στρ. γ'.
*Ζεῦ, Κρόνιόν τε ναί-ων λόφον*
*τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖ-*
*όν τε σεμνὸν ἄντρον,*
*ἱκέτας σέθεν ἔρχομαι - Λυδίοις*
*ἀπύων ἐν αὐλοῖς,*

*αἰτήσων πόλιν εὐ-* Ἀντ. γ'.
*ανορίαισι τάν-δε κλυταῖς*
*δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσει-*
*δανίαισιν ἵπποις*
*ἐπιτερπόμενον φέρειν - γῆρας εὔ-*
*θυμον ἐς τελευτάν,*

*υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα* Ἐπ. γ'.
*δ' εἴ τις ὄλβον ἄρδει,*
*ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν*
*προστιθείς, - μὴ ματεύ-*
*σῃ θεὸς γενέσθαι.*

---

16. *ἠὺ* Hermann: *εὖ* ACD, *εὖ δὲ τυχόντες* Boeckh — *ἔμμεναι* A — 20. *εὐανορίαις* A — 21. *δαιδάλειν* C — *οὐλ.* D — *ποσειδανίαισιν* Boeckh cum parte scholiorum: *ποσειδανίοισιν* (*ποσειδων.* A) ACD — 24. *κτεάνεσι* A — *προτιθ.* C.

## ΟΛΥΜΠ. ϛ.

# ΑΓΗΣΙΑͺ ΣΥΡΑΚΟΣΙΩͺ

### ΑΠΗΝΗͺ Ol. 78 = 468 a. Ch.

---

Strophae.

– –́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – | ⏑ ⏓
⏑ – – –́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – | – –́ ⏑ – – –́ ⏑ – ⏓ |

Epodi.

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ –́ ⏑⏑ – | – –́ ⏑⏑ ⏓
–́ ⏑⏑ – | – –́ ⏑⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – | ⏓ –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑⏑ – ⏑⏑ – |
–́ ⏑⏑ – ⏑⏑ – – | –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – | –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓ |

*Στρ. α′*

*Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου*
*κίονας, ὡς ὅτε θαητὸν μέγαρον*

---

1. *εὐτυχεῖ* C — 2. *ὥς τε* C —

*πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον*
*χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,*
*βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,*
*συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν, τίνα κεν φύγοι ὕμνον*
*κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;*

*Ἀντ. α'.*

*ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων*
*Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ*
*οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις*
*τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι πονηθῇ.*
*Ἀγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ*
*ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμφιάρηον*
*φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.*

*Ἐπ. α'.*

*ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαϊονίδας*
*εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς,*

---

3. *ἀρχομένου* codd. et schol.: *ἀρχομένους* v. l. in Luciani Hipp. 7 — 5. *βωμῶ* (*ου* supra *ω* scripto) *A* — 6. *συρακουσᾶν* *A* — *κεν*: *καὶ* *A* — 7. *ἱμερτᾶι ἀοιδᾶι* (vel -*ᾶς* -*ᾶς*) $C^{ac}$ — 10. *οὔτ' ἐν ἀνδρ.* *A* — *οὔτε ναυσὶ* (omisso *ἐν*) *C* — 11. *ποναθῆ* *ABD*, cf. P. IX 93 — 12. *ἐνδίκου* coni. Herwerden — 13. *γνώμας* coni. Hecker — *ἀμφιάραον* $AC^{pc}$ — 14. *ἐφθέγξατ'* *A* — 15. *τελεσθέντων*] *τε νησθέντων* coni. Bergk, *τε δαισθέντων* Herwerden, *τελεσθεισᾶν* Wilamowitz — *ταλαον.* *A* — 16. *θήβαισι* *C*: *θήβησι* *A* *θήβαις* *BD* —

ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι.
τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ ϝοι σαφέως
μαρτυρή- σω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Στρ. β'.

Ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν
αὐταῖς·
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον
ἐλθεῖν ἐν ὥρᾳ·

Ἀντ. β'.

ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
παῖδα ϝιόπλοκον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,

---

17. τ' om. *A* — δορὶ *A* — 18. συρακουσίῳ *AC* — 19. δύσηρις Ald.: δύσερις *ABCD* — φιλόνικος coni. Bergk — 21. ἐπιτέρψ. *A* — 23. αἲ εἰς τάχος *B* — 24. βάσωμεν $A^{ac}$ — ἀνδρὸς coni. Hartung — 27. ὕμνον *D* — ἀναπεπτάμεν' *A* — 28. σάμερόν γ' Tricl., σάμερόν μ' Boeckh — 29. ποσειδάονι *C* — 30. παῖδα ἰόπλοκον Bergk: παῖδ' ἰοπλόκαμον *ABCD*, παῖδ' ἰοβόστρυχον Tricl. — τεκέσθαι $A^1$ — 31. κρύψε: κρύψαι $A^1$, κρῦψαι *C*, κρύψας? $C^{\text{in ras.}}$ —

*ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλφεὸν*
*οἰκεῖν·*
*ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον ἔψαυσ'*
*Ἀφροδίτας.*

*Ἐπ. β'.*

*οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο*
*γόνον·*
*ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις χόλον οὐ*
*φατόν, ὀξείᾳ μελέτᾳ*
*ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας.*
*ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα*
*κάλπιδά τ' ἀργυρέαν, λόχμας ὑπὸ κυανέας*
*τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας*
*πραΰμη- τίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·*

*Στρ. γ'.*

*ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος*
*ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα*
*λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν*
*δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ*
*ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ*
*πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας ἐν οἴκῳ*
*εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι· Φοίβου γὰρ αὐτὸν*
*φᾶ γεγάκειν*

*Ἀντ. γ'.*

*πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις*

---

34. *ἔλαχέ τ'* *B*, *ἔλαχέν τ'* *D* — 37. *Πυθῶνάδ'*: *πυθῶν'* *D* in lit. — 38. *πάθους* *B* — 40. *λόχμας ὑπὸ κυανέας* *BCD* et schol.: *λόχμαις ὑπὸ κυανέαις* *A* — 42. *εἰλείθ.* *ABCD* — 43. *τ'* om. *A* — 45. *δὲ* om. *C*[ac] — *αὐτὸν* om. *C* — 50. *πατρός*: *πατρός γε* *A* —

ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάννε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον. ἀλλ' ἐν
κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ,
ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν χρόνῳ σύμπαντι μάτηρ

Ἐπ. γ'.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν,
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμάτας σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλασσέν τέ νιν· Ὄρσο, τέκνον,
δεῦρο πάγ- κοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.

Στρ. δ'.

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου.
ἔνθα ϝοι ὤπασε θησαυρὸν δίδυμον

---

51. *οὐδέπω τέκεν λείψειν A* — 53. *γεγεναμένον* (*γεγενν. A*) *ABCD* — *ἀλλ' ἐγκέκρυπτο BCD*, *ἀλλ' ἐκρύπτετο A* — 54. *σχίνῳ B* — *ἀπειράτῳ D* post corr.: *ἀπειράντῳ ABC*, *ἀκηράτῳ* Schmidt, *ἀπειρίτῳ* Bergk — *βατιᾷ* Wilamowitz — 55. *ξανθαῖσί τε καὶ A* — *βεβρεγμένος*] schol.: *Ζηνόδοτος γράφει . . . ἀντὶ τοῦ βεβρεγμένος*, quo in scholio *πεφραγμένος* excidisse putat Rauchenstein — 58. *μέσσῳ 'γκαταβὰς* Herwerden — 59. *θεοδμάτου A* — 62. *μετάλλασσε A*: *μετάλλασεν* (*-σε B*) *BCD*, *μετάνστασεν* coni. Bergk, *μεταλλάσσαντί ἰν* Hermann — *τέκνον ABCD*: *τέκος* lemma *B* — 63. *χώραν A*: *χῶρον BCD* —

*μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν*
*ψευδέων ἄγνωτον, εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν*
*Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαΐδᾶν, πατρὶ*
*ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον*
*ἀέθλων,*
*Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι*
*κέλευσεν.*

*Ἀντ. δ'.*

*ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.*
*ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς*
*ἐς φανερὰν ὁδὸν ἔρχονται· τεκμαίρει*
*χρῆμ' ἕκαστον. μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων*
*τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον*
*ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν.*
*εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρους, Ἀγησία, μάτρωες*
*ἄνδρες*

*Ἐπ. δ'.*

*ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις*
*πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας ἔχει*
*μοῖράν τ' ἀέθλων*
*Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,*

---

67. *ἄγνωτον A*: *ἄγνωστον BCD* et schol. — 68. *πατρὶ* Hermann: *πατρί δ' A*, *πατρί θ' BCD* — 69. *κτίσει B* — *τε μέγιστόν τε B* — 70. *αὖ A*: *αὐτῷ BCD* — *κέλευσέ νιν A* — 72. *ὄλβος ἅμ' ACD*$^{ac}$: *ὄλβος δ' ἅμ' BD*$^{pc}$ — 74. *μῶμος δ' ἐξ* codd., *δ'* eiec. Boeckh, *μῶμος ἐκ δ'* coni. Schmid — 75. *τοῖς, οἷς*] *τοῖσιν* coni. Hermann — *πρώτοις AC*$^{pc}$*D*: *πρῶτον BC*$^{ac}$ — 76. *ποτιστάξῃ* coni. Bergk: *ποτιστάξει CD*, *ποτιστάζει AB* — *μορφά C*, *μοῖραν* coni. Hecker — 77. *ὄρους* Mosch: *ὄροις ABCD*, *ὄρος* legisse videntur schol. — 78. *δώρησαν B*$^{2}$*CD*; *ἐδωρήσαντο θέων* coni. Herwerden — 80. τιμὰν A

σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,
ἅ μ' ἐθέλοντα προσέλκει καλλιρόοισι πνοαῖς·
ματρομά- τωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,

Στρ. ε'.

πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,
Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,
γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν
λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. ἐσσὶ γὰρ ἄγγελος
ὀρθός,
ἠυκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκ-
των ἀοιδᾶν·

'Αντ. ε'.

εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,
καὶ Ζηνὸς Αἰτναίου κράτος. ἀδύλογοι δέ νιν
λύραι μολπαί τε γινώσκοντι. μὴ θράσσοι χρόνος ὄλ-
βον ἐφέρπων.

---

82. *λιγυρᾶς ἀκόνας* transposuit Hartung; ante *λιγυρᾶς ἀκόνας* interpungendum censet Wilamowitz — 83. *προσέλκει* *Byz.*: *προσέρπει* *ABC*, *προσέρποι* *D* — 86. *πίνομαι* coni. Meineke; *πίνομεν* ... *πλέκειν* coni. Naber — 88. *Ἥραν*: *Ἑρμᾶν* coni. Bornemann — 90. *ἐσσί*: *ἔστι* coni. Wilamowitz — 91. *ἀφθόγγων* *A*, *ἀγαφθέκτων* *CD* — 92. *εἰπὸν* Boeckh: *εἶπον* codd. — *δ' ἐμὲ μνᾶσθαι* coni. Iurenka — *συρακουσᾶν* *A* — 93. *σκάπτρῳ* *BD* — 95. *ἑορτὰς* *A* — 97. *λύραι* codd.: *πνοαί* *schol.*; *μολπαί* *ABD*: *πολλαί* *C*; *λύραι πνοιαί* coni. Lehrs —

*σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἀγησία δέξαιτο κῶμον*

*Ἐπ. ε΄.*

*οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισσόμενον,*
*ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ*
*νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς*
*τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.*
*δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων*
*ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις*
*Ἀμφιτρί- τας, ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.*

---

*θράσσοι* Boeckh: *θραύσοι A B C D*, *θραύσαι* Hermann — 98. *εὐκράτοις* (*η* scripto supra *κ*) *A* — 99. *ποτινισόμ. ABCD* — 100. *λείποντ'* Tricl.: *λιπόντ' ABCD* — *πέλονταί γ'* (*τ' C*) *ἐν AC* — 101. *ἀπεσκῆφθαι A* — 102. *τῶν δ' ἐκείνων ABCD*, *τῶν τε κείνων* Heyne — 103. *ποντομέδων* coni. Boeckh — *εὔθυνε πλόον καμάτων δ' A* — 105. *δ'* om. *A* — *ἄεξ' BCD*: *δέξ' A* — *εὐερπὲς D*, *εὐπρεπὲς E*.

## ΟΛΥΜΠ. Ζ΄.

# ΔΙΑΓΟΡᾼ ΡΟΔΙῼ

### ΠΥΚΤῌ Ol. 79 = 464 a. Ch.

---

Strophae.

⏖ – – ∸ ⏑ – | – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – ⏓ ∸ ⏑ – – | ∸ ⏑ ⏓
– –̈ ⏑ ⏓ |
⏑̄ –̈ ⏑ – – ∸ ⏑ – – | –̈ ⏖ – ⏖ – | – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏖ – ⏖ – – –̈ ⏑ – – | –̈ ⏖ – ⏖ ⏓ |
⏖ – – ∸ ⏑ – – | –̈ ⏖ – ⏖ – ⏓ |

Epodi.

–̈ ⏖ – ⏖ – | – –̈ ⏖ – ⏖ – – ∸ ⏑ ⏓ |
–̈ ⏑ – – ∸ ⏑ – – | –̈ ⏖ – ⏖ – ∸, | ⏑ ⏓
–̈ ⏖ – | ⏖̇ ⏑ – ⏖ ∸ ⏖ – | – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – ∸ ⏑ – ⏓ |
–̈ ⏖ – ⏖ – | ⏓ ⏖̈ ⏑ – – –̈ ⏖ – ⏖ ⏓ |
⏖ – –̈ ⏖ – | ⏖ – – –̈ ⏑ ⏓ |
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – |

*Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν* *Στρ. α΄.*
*ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ*

---

1. *ἀφνεᾶς A* — 2. *καγχλ. A* — *ἀμπέλου καχλάζοισαν δρόσον Planudes in* schol. Hermog. ap. Walz t. VII p. 486 —

*δωρήσεται,*
*νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε πάγχρυσον*
*κορυφὰν κτεάνων,*
*συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν· ἐν δὲ φίλων*
*παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·*

*Ἀντ. α'.*

*καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις*
*ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,*
*ἱλάσκομαι*
*Ὀλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν. ὁ δ' ὄλβιος, ὃν φᾶ-*
*μαι κατέχοντ' ἀγαθαί.*
*ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἀδυμελεῖ*
*ἅμα μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.*

*Ἐπ. α'.*

*καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν τὰν*
*ποντίαν*
*ὑμνέων παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμ-φαν, Ῥόδον,*
*εὐθυμάχαν-ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφειῷ στε-*
*φανωσάμενον*
*αἰνέσω πυγμᾶς ἄποινα*
*καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἀδόντα Δίκᾳ,*
*Ἀσίας-εὐρυχόρου τρίπολιν νᾶσον πέλας*
*ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.*

---

3. *δωρήσατο* coni. Naber — 4. *προπέμπων* v. l. schol. — 5. *συμποσίου* *BCD*: *συμποσίω* (supra *ω* scripto *ου*) *A*, *συμποσίῳ* Mommsen — *ἑόν*: *νέον* coni. Bergk — 10. *ὀλ.* *A B C D*: *οὐλ.* *Byz.* — 11. *ζωοφθάλμιος* *C* — 12. *ἅμα* lemma in *A*: *θαμὰ* codd. — *ἐν ἔντ.* *AC*: *ἔντ.* (omisso *ἐν*) *BD* — 14. *Ἀμφιτρίτας* v. l. schol. — 15. *εὐθύμαχον* *A* — *ἀλφεῷ* *A* — 18. *εὐρυχόρου* *B*: *εὐρυχώρου* (*-ροιο* *C*) *A C D* — 19. *ἐμβόλῳ* *B*: *ἐμβόλω* *ACD*; *εὔβολον* Theotimum legisse testantur schol. —

*Στρ. β'.*

*ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου*
*ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,*
*Ἡρακλέος*
*εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς*
*εὔχονται· τὸ δ' Ἀμυντορίδαι*
*ματρόθεν' Ἀστυδαμείας· ἀμφὶ δ' ἀνθρώπων φρασὶν*
*ἀμπλακίαι*
*ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,*

*Ἀντ. β'.*

*ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.*
*καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον*
*σκάπτῳ θενὼν*
*σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλθόντ' ἐκ*
*θαλάμων Μιδέας*
*τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς. αἱ δὲ φρενῶν*
*ταραχαὶ*
*παρέπλαγξαν καὶ σοφόν· μαντεύσατο δ' ἐς θεὸν ἐλθών.*

*Ἐπ. β'.*

*τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον*
*εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασ-σον*
*νομόν,*
*ἔνθα ποτὲ-βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις*
*νιφάδεσσι πόλιν,*

---

20. *τοῖσιν ABD*$^{pc}$ schol.: *τοί νυν CD*$^{ac}$ — 21. *ἀγγέλων CD*$^{ac}$ — 24. *φρεσὶν CD*$^{i}$ — 26. *καὶ* om. *A* — *φέρτερον A* — 29. *ἔκτανεν D*: *ἔκτανε B*, *ἔκταν' ἐν AC* — 32. *ναῶν*: *νωμᾶν* et infra *εὐθὺν* Hermann — 33. *εὐθὺν γρ. E*: *εὔθυν' ABCD*; *εἰς A*; *ὅρσαι ἐς* coni. Mommsen; at cf. P. IV 6 — 34. *βρέχει* lemma in *A* — *χρυσέαις Byz.*: *χρυσέαισι ABCD* —

*ἀνίχ' Ἁφαίστου τέχναισιν*
*χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν*
*ἀνορού-σαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ·*
*Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.*

Στρ. γ'.

*τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας*
*μέλλον ἔντειλεν φυλάξασθαι χρέος*
*παισὶν φίλοις,*
*ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ σεμνὰν θυσίαν θέμενοι*
*πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' ἐγχειβρόμῳ. ἐν δ' ἀρετὰν*
*ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι Προμαθέος αἰδώς.*

Ἀντ. γ'.

*ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος*
*καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν*
*ἔξω φρενῶν.*
*καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ· τεῦξαν δ' ἀπύροις ἱεροῖς*
*ἄλσος ἐν ἀκροπόλει. κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν νεφέλαν*
*πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν*

---

37. ἀνορ.: ἐνορ. $E^{ac}$ — 40. ἐνέτειλε *A* — 42. ὡς τᾷ θεῷ coni. Kayser — πρῶτον *C* — 43. ἰάναι. κόρα (sine εν) $BD^{pc}$ — 45. ἀτέκμαρτα coni. Schmid: ἀτέκμαρτον *ABCD* — 46. παρέλκει πρ. ὀρθᾶν ὁδῶν ἔξω φρένας coni. Bergk — 48. ἀπείροις $A^1$ — 49. κείνοις ὁ μὲν Mingarelli: κείνοισι μὲν *ABCD* — νεφέλαν ζεὺς *ABCD*, ζεὺς eiec. Mosch. —

'Επ. γ'.

πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευ-θοι φέρον.
ἦν δὲ κλέος-βαθύ. δαέντι δὲ καὶ σοφία μείζων ἀδόλως τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν-ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου· Στρ. δ'.
καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμ πάλον μέλλεν θέμεν. ἀλλά νιν οὐκ εἴασεν, ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.

'Αντ. δ'.

ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν
μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ

---

53. *ἀδόλως* unus ex scholiastis legisse videtur: *ἄδολος* codd. — 56. *ἔμμεναι A* — 57. *ἁλμυροῖσι BCD* — 58. *ἔνριψεν* coni. Naber — 59. *χλωρᾶς A* — *λεῖπον A* — 61. *ἄμ πάλον* Boeckh: *ἄμπαλον ABCD* — 67. *φαενὸν* $C^{ac}$, *φανὸν* Hermann

*ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κορυφαὶ*
*ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς*

*Ἐπ. δʹ.*

*νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,*
*πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μιχ-θεὶς τέκεν*
*ἑπτὰ σοφώ- τατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδεξαμένους*
*παῖδας, ὧν εἷς μὲν Κάμειρον*
*πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ'. ἀπάτερθε δ' ἔχον,*
*διὰ γαῖ-αν τρίχα δασσάμενοι πατρωίαν,*
*ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.*

*Στρ. εʹ.*

*τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ*
*ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,*
*ὥσπερ θεῷ,*
*μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις.*
*τῶν ἄνθεσι Διαγόρας*
*ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων,*
*Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.*

---

68. *γέρας BD*: *μέρος AC* et *γρ. B* — *τελεύταθεν γρ. B* et lemma in *BC*: *τελεύτασαν ABCD* — 73. *μὲν* om. *B* — *Κάμιρον* schol. *A*, ut scriptum est in vetustis titulis — 74. *πρεσβύτατος* a nonnullis scriptum fuisse testantur schol. — *ἰάλυσσον D* — *ἔτεκεν* Tricl.: *τέκεν AD*, *τέκε BC* — *Λίνδον δ' C* — *ἔχον A*: *ἔχοντα B*, *ἔχοντι CD* — 75. *γᾶν τριχθὰ A* — 79. *θεοῖς A* — 80. *μάλων A* — *κνισσ. BCD* — 81. *τ' ἐν*: *τοι ἐν C* — 82. *κρανααῖσιν ἐν C* —

*Ἀντ. ε΄.*

ὅ τ᾽ ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ᾽ ἐν Ἀρκαδίᾳ
ἔργα καὶ Θήβαις, ἀγῶνές τ᾽ ἔννομοι
Βοιωτίων,
Αἴγινα Πελλάνα τε νικῶνθ᾽ ἑξάκις· ἐν Μεγάροισίν τ᾽ οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ᾽ ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,

*Ἐπ. ε.*

ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ ϝοι αἰδοίαν χάριν
καὶ ποτ᾽ ἀστῶν καὶ ποτὶ ξείνων· ἐπεὶ ὕβριος ἐχ-θρὰν ὁδὸν
εὐθυπορεῖ, - σάφα δαεὶς ἅ τε ϝοι πατέρων ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ᾽ ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
θαλίας-καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ᾽ ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

---

85. *Βοιωτίων A*: *βοιωτῶν BD*, *βοιωτίας C* — 86. *Αἴγινα Πελλάνα τε* Tricl.: *πελλάνα* (*πελλάνᾳ B*) *τ᾽ αἴγινά* (*αἰγίνᾳ B*) *τε ABCD*, *Πέλλανά τ᾽*, *Αἰγίνᾳ τε* Boeckh, *Πέλλανά τ᾽ Οἰνώνα τε* coni. Bergk — *μεγάροισι δ᾽ A* — *ἕτερον BCD*: *ἑτέρου A* — 89. *δίδου A* — 92. *ἔχρεον A* — *κοινὸν* : *κλεινὸν* coni. Herwerden — 93. *ἐρατιδᾶν* Tricl.: *ἐραστειδᾶν ABCD* et schol. — *τοι*] *τὲ A* — *θαλίας ἔχει A* — 94. *μιᾷ μοίρᾳ AC*: *μοίρᾳ μιᾷ BD*.

ΟΛΥΜΠ. Η'.

# ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤῌ

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ Ol. 80 = 460 a. Ch.

---

Strophae.



Epodi.



*Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία,* *Στρ. α'.*
*δέσποιν' ἀλαθείας, ἵνα μάντιες ἄνδρες*

---

1. *χρυσεοστ. A* — *οὐλ. Byz.*, *ὀλ. ABCD* —

*ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικε-*
*ραύνου,*
*εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι*
*μαιομένων μεγάλαν*
*ἀρετὰν θυμῷ λαβεῖν,*
*τῶν δὲ μόχθων ἀμπνοάν·*

*Ἀντ. α'.*

*ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς.*
*ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,*
*τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος*
*αἰεί,*
*ᾧτινι σὸν γέρας ἕσπητ' ἀγλαόν.*
*ἄλλα δ' ἐπ' ἄλλον ἔβαν*
*ἀγαθῶν, πολλαὶ δ' ὁδοὶ*
*σὺν θεοῖς εὐπραγίας·*

*Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος* *Ἐπ. α'.*
*Ζηνὶ γενεθλίῳ· ὃς σ' ἐν μὲν Νεμέᾳ πρόφατον,*
*Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ*
*θῆκεν Ὀλυμπιονίκαν.*
*ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ Ϝεῖδος ἐλέγχων*
*ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·*
*ἔνθα Σώ- τειρα Διὸς ξενίου*
*πάρεδρος ἀσκεῖται Θέμις*

---

3. *ἀργεικ. B*, *ἀρτικ. C*^ac — 7. *ἔκ τε μόχθων* coni. Hermann — 8. *λιταί* v. l. schol. — 9. *ἄλσος ἔχων A* — 11. *ἕσπητ' GN*: *ἕσπετ' ABC*, *ἕσποιτ' D* lit. — 12. *ἐπ' ἄλλων A*, *ἐπ' ἄλλαν C* — 16. *ὅς σ' ἐν μὲν* Boeckh: *σὲ μὲν ἐν* (sine ὅς) *AB*, *ὅς σὲ μὲν ἐν CD* et *A* m. rec. — *πρόφατον* Tricl.: *πρόφαντον ABCD*, *προφανῆ* Schneidewin, ὅς *σὲ πρόσφατον ἐν Νεμέᾳ* Hermann — 17. *πὰρ B*: *παρὰ ACD* — 18. *ἔθηκεν A* — 20. *ἐξένν. AB* —

Στρ. β'.

ἔξοχ᾽ ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
δυσπαλές· τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ᾽ ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν·
ὁ δ᾽ ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι·

Ἀντ. β'.

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

Ἐπ. β'.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέον
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ᾽ ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ᾽ ἐσόρουσε βοάσαις.

---

23. ὅ τι: ὅθι unus ex scholiastis, ut videtur — πολλᾷ *B*: πολλὰ *ACD* — ῥέπῃ Bergk: ῥέποι *ABCD*, ῥέπει *Byz.* c. dett. — 24. διακρῖναι *A* — 25. καὶ τάνδ᾽: fortasse καὶ τὰν vel ταύταν — 26. παντοδαποῖς *BD* — 32. τεῦξαι *ABCD*: τεύξειν *Byz.* — 36. λαῦρον *AC* — 37. κτίσθη νέον, *C* et Boeckh$^2$ — 38. ἐσαλόμενοι $D^{ac}$, ἐφαλλόμ. coni. Hecker — γε τρεῖς *A* — οἱ μὲν δύο *A* — κάππετον $BCD^{lit.}$ — 39. αὖ *B* — τ᾽ malo cum Bergkio — ἀτυζομένω $D^{ac}$: ἀτυζόμενοι *AB*, ἀτιζομένω $CD^{pc}$ — 40. δ᾽ ἐσορ. *CD* et schol.: δ᾽ ἀνορ. *B*, δ᾽ ὀρ. *A*; fort. δ᾽ ἐνορ. —

*ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·*
*Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·*
*ὣς ἐμοὶ-φάσμα λέγει Κρονίδα*
*πεμφθὲν βαρυγδούπου Διός·*

Στρ. γ'.

*οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ἄρξεται*
*καὶ τετράτοις. ὣς ἄρα θεὸς σάφα ϝείπαις*
*Ξάνθον ἤπειγ' ἢ καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων.*
*Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ*
*ἅρμα θοὸν τάνυεν,*
*ἀποπέμπων Αἰακὸν*
*δεῦρ' ἀν' ἵπποις χρυσέαις,*

Ἀντ. γ'.

*καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.*
*τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.*
*εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,*
*μὴ βαλέτω με λίθῳ τραχεῖ· φθόνος·*
*καὶ Νεμέᾳ γὰρ ὁμῶς*
*ἐρέω ταύταν χάριν,*
*τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν*

---

41. *ὁρμαίνων* codd. et schol.: *εἰσορῶν* coni. Hartung, *ἀμφαίνων* Fritzsche, fort. *αὐγάζων* — 42. *τεᾶς* coni. Schmid — 44. *βαρυκτύπου* *A* — 45. *πρώτοισιν* *BD* — *ἄρξεται*] *ῥήξεται* coni. Bergk — *τερτάτοις* coni. Ahrens — 46. *σαφὲς* $A^{s}$ — 47. *ξάνθον τε* *A*, *ξάνθον δ'* *D* (*ον δ'* lit.) — *ἤπειγ' ἢ* Bergk: *ἤπειγε* (*-γεν*) codd. et schol. — *εὐίπποις* *B* — *ἐς* om. *B* — 48. *ποντίῳ* $C^{ac}$ — 52. *δαιτικλυτάν* Bergk: *δαῖτα κλυτάν* *ABCD*, quo recepto post *δειράδ'* i. e. *δειράδι* interpunxerunt — 54. *μελησίᾳ* *AB*: *μελησία* *CD* — *ὕμνων* $A^{pc}$ — 55. *βαλλέτω* *A* — 58. *μαχᾶν*: *μέτα* coni. Kayser, *λαχεῖν* Schneidewin —

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι — Ἐπ. γ'.
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐ- τῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

Στρ. δ'.

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακὼν
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν. γλῶσσαν καὶ ἐπί-
κρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
Ἀίδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ.

Ἀντ. δ'.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ'
ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
καν νόμον ἑρδομένων·
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

---

59. ἐν παγκρατίῳ $B^s C^1 D^1$ — δέ τι $A^1$, δέ τοι τι $B$ — 65. μὲν γὰρ $A$ — 78. ἑρδομένων coni. Schmid: ἑρδόμενον codd. —

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων ᾿Επ. δ΄.
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ᾿ ἐπ᾿ ἐσλοῖς
ἔργ᾿ ἐθέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν·
ἀλλ᾿ ἀπή- μαντον ἄγων βίοτον
αὐτούς τ᾿ ἀέξοι καὶ πόλιν.

---

82. ἐννέποι *ABCD* — 85. ἔργ᾿ ἐθέλοι Boeckh: ἔργα θέλοι codd. — 86. ἀμφὶ τῶν καλ. *C* — μοῖραν *D* — 87. ἄγων $A^{s}B$ *CD*: ἔχων $A^{1}$.

## ΟΛΥΜΠ. Θ'.

# ΕΦΑΡΜΟΣΤΩι ΟΠΟΥΝΤΙΩι

### ΠΑΛΑΙΣΤΗι Ol. 81 = 456 a. Ch.

---

### Strophae.

⏑⏑ –⏑ ⏑ –́ ⏑ ⏓|
⏓ –⏑ ⏑ –́ ⏑ –| –́ ⏒ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏓|
–́ ⏒ –⏑ ⏑ –́ ⏑ –|⏒ –́⏑ ⏑ – ⏓|
–́ – –⏑ ⏑ –́ ⏑ –|– –́⏑ ⏑ – ⏓|
–́ ⏒ –⏑ ⏑ –́ ⏑ –|– –́⏑ ⏑ – ⏓|
⏑́⏑ ⏑ – ⏒ –́⏑ ⏑ –|– –́⏑ ⏑ – ⏓|
–́ ⏒ –⏑ ⏑ –́ ⏑ ⏓|
– –́⏑ ⏑ – –|
⏑ –́⏑ ⏑ – ⏑ –́ –|⏑ ⏓́
– –́⏑ ⏑ – –́|⏑ – ⏒ –́⏑ ⏑ – ⏓|

### Epodi.

⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏓|
⏑⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏓|
⏑⏑ –⏑ ⏑ –́ ⏓
– –́|– –⏑ ⏑ –́ ⏑ – –́ ⏓|
–́⏑ ⏑ – –́ – –́ ⏓|
– –́⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ –|
– –́ ⏑ –⏑ ⏑ –́⏑ ⏑ –| –́ ⏓
– –́ ⏑ – ⏒ –́|⏑ –⏑ ⏑ –́, ⏒|–́ ⏑ –⏑ ⏑ –́ ⏑ – ⏓\

*Τὸ μὲν Ἀρχιλόχου μέλος* *Στρ. α'.*
*φωνᾶεν Ὀλυμπίᾳ,*
*καλλίνικος ὁ τριπλόος κεχλαδώς,*
*ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι*
*κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·*
*ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων*
*Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι*
*ἀκρωτήριον Ἄλιδος*
*τοιοῖσδε βέλεσσιν,*
*τὸ δή ποτε Λυδὸς ἥ-ρως Πέλοψ*
*ἐξάρατο κάλ-λιστον ἕδνον Ἱπποδαμείας·*

*πτερόεντα δ' ἵει γλυκὺν* *Ἀντ. α'.*
*Πυθῶνάδ' ὀιστόν· οὔ-*
*τοι χαμαιπετέων λόγων ἐφάψεαι,*
*ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων*
*κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις Ϝὲ καὶ υἱόν,*
*ἂν Θέμις θυγάτηρ τέ Ϝοι Σώτειρα λέλογχεν*
*μεγαλόδοξος Εὐνομία, θάλλει δ' ἀρεταῖσιν*
*σόν τε, Κασταλία, πάρα*
*Ἀλφεοῦ τε ῥέεθρον·*
*ὅθεν στεφάνων ἄω-τοι κλυτὰν*
*Λοκρῶν ἐπαεί- ροντι ματέρ' ἀγλαόδενδρον.*

---

2. *φωνᾶ ἐν B* (*D*$^{ac}$?) et v. l. schol. — *κεκλαδώς A* — 4. *φίλος B* — 8. *τοιοῖς δ' ἐν D* — *βέλεσσι* (*βέλεσι OX*, *βελέεσσι* γρ. *E*) *E*$^{s}$*OPXV*: *μέλεσι* (*μέλεσσιν C*) *ABCD*, utrumque interpretantur scholia — 11. *δ'*: *θ'* malo — 14. *κλειτᾶς A* — 16. *ἀρεταῖσιν σόν τε Κασταλία* Bergk: *ἀρεταῖς ἴσόν τε κασταλία* (-*λίᾳ BC*) *A*$^{s}$*BCD* et schol., *ἀρεταῖσιν ἔν τε κασταλίᾳ A*$^{1}$ — 18. *παρ' Ἀλφειοῦ ACD*$^{s}$ — 20. *ἐπαείρονται C*$^{s}$, *ἐπαίροντι D* —

ἐγὼ δέ τοι φίλαν πόλιν ᾿Επ. α΄.
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾳ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν᾽· ἀγαθοὶ
δὲ καὶ σοφοὶ κατὰ δαίμον᾽ ἄνδρες

ἐγένοντ᾽· ἐπεὶ ἀντίον Στρ. β΄.
πῶς ἂν τριόδοντος Ἡ-
ρακλέης σκύταλον τίναξε χερσίν,
ἀνίκ᾽ ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν,
ἤρειδεν τέ νιν ἀργυρέῳ τόξῳ πολεμίζων
Φοῖβος, οὐδ᾽ ᾽Αίδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ᾽ ᾇ κατάγει κοίλαν ἐς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆ-σαι θεοὺς
ἐχθρὰ σοφία-καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

μανίαισιν ὑποκρέκει. ᾿Αντ. β΄.
μὴ νῦν λαλάγει τὰ τοι-
αῦτ᾽· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας

---

21. δὲ φίλ. (omisso τοι) A — 25. ταύταν codd.: κλυτάν coni. Wilamowitz — 28. ἀγαθοὶ δὲ φύσει καὶ σοφοὶ κατὰ δαίμον᾽ ἄνδρες ἐγένοντο Aristid. t. II p. 35 Dind. — 31. ἤρεισε D — 32. τε: δὲ coni. Hermann — πελεμίζων coni. Thiersch — 34. ἐς: πρὸς B —

*ἄστει γλῶσσαν, ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ*
*Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε*
*δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον*
*κτισσάσθαν λίθινον γόνον·*
*Λαοὶ δ' ὀνύμασθεν.*
*ἔγειρ' ἐπέων σφιν οἶ-μον λιγύν,*
*αἴνει δὲ παλαι- ὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων*

*νεωτέρων. λέγοντι μὰν* 'Επ. β'.
*χθόνα μὲν κατακλύσαι μέλαιναν*
*ὕδατος σθένος, ἀλλὰ*
*Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας*
*ἄντλον ἑλεῖν. κείνων δ' ἔσσαν*
*χαλκάσπιδες ὑμέτεροι πρόγονοι,*
*ἀρχᾶθεν 'Ιαπετιονίδος φύτλας*
*κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,*
*ἐγχώριοι βασιλῆες αἰεί·*

*πρὶν 'Ολύμπιος ἁγεμὼν* Στρ. γ'.
*θύγατρ' ἀπὸ γᾶς 'Επει-*
*ῶν 'Οπό͜εντος ἀναρπάσαις ἕκαλος*
*μίχθη Μαιναλίαισιν ἐν δειραῖς καὶ ἔνεικεν*
*Λοκρῷ, μὴ καθέλοι νιν αἰὼν πότμον ἐφάψαις*

---

42. *γλῶσσαν*: *Μοῖσαν* coni. Hecker coll. N. III 28 — 43. *καταβάντες A* — 45. *κτίσσασθαν* Mommsen: *κτισάσθαν A*, *κτησάσθαν* (*-σθην C*) *BCD* — 47. *σφίσιν AC* — *οἶμον*: *οὖρον* coni. Gedicke — 52. *ἀνάπωτιν* Tricl.: *ἄμπωτιν ABCD* — 53. *κἀκείνων A* — *ἔσσαν Byz.*: *ἔσαν ABCD*, *δὴ 'σαν* Bergk — 55. *ἰαπετιονίδος E*: *ἰαπετεονίδος* (*-ιδεις D*) *ABCD* — 56. *κορᾶν Byz.*: *κουρᾶν ABCD*, *κόρων* coni. Jurenka — *καὶ ABCD*: *τε* Mosch. — *φερτάτον* coni. Homan — *Κρονιδᾶν* codd. et schol.: *Λελέγων* coni. Hermann — 58. *θυγατέρ' AC*, *τὰν παῖδ'* Tricl. — *ἁρπ. A* — 60. *καθέλοιμι αἰ.* lemma in *A* —

*ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον*
*ἄλοχος, εὐφράνθη τε Ϝιδὼν ἥρως θετὸν υἱόν,*
*μάτρωος δ' ἐκάλεσσέ νιν*
*ἰσώνυμον ἔμμεν,*
*ὑπέρφατον ἄνδρα μορ-φᾷ τε καὶ*
*ἔργοισι· πόλιν- δ' ὤπασεν λαόν τε διαιτᾶν.*

*ἀφίκοντο δέ Ϝοι ξένοι* 'Αντ. γ'.
*ἔκ τ' Ἄργεος ἔκ τε Θη-*
*βᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·*
*υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων*
*Αἰγίνας τε Μενοίτιον· τοῦ παῖς ἅμ' Ἀτρείδαις*
*Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ*
*μόνος, ὅτ' ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν*
*πρύμναις Τήλεφος ἔμβαλεν·*
*ὥστ' ἔμφρονι δεῖξαι*
*μαθεῖν Πατρόκλου βια-τὰν νόον.*
*ἐξ οὗ Θέτιος - γοῦνος οὐλίῳ νιν ἐν Ἄρει*

*παραγορεῖτο μή ποτε* 'Επ. γ'.
*σφετέρας ἄτερθε ταξιοῦσθαι*
*δαμασιμβρότου αἰχμᾶς.*
*εἴην εὑρησιεπὴς ἀναγεῖσθαι*
*πρόσφορος ἐν Μοισᾶν δίφρῳ·*
*τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις*
*ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον*

---

**61.** *ἔσχεν* (*ἔσχε D*) *CD* — 65. *ὑπέρφυτον A* — 68. *καὶ* om. *D* — 69. *υἷα Byz.* — 71. *'Αχιλεῖ A* — 76. *γοῦνος* coni. Mingarelli: *γόνος* codd., *γ' ὄζος* Bergk, *βλαστὸς* Hermann — *οὐλία C*[1] — 78. *ἀντιοῦσθαι* coni. Naber — 79. *δαμασιμβρότας B*[1] — 80. *εὑρησ. B*: *εὑρεσ. ACD* — 83. *ἕσποιτο· προξενίᾳ* (*αἰεὶ* ante *προξ.* minio add. *C*) *BCD* et schol.: *ἕσποιτ' αἰεὶ προξ.* (*ξενίᾳ*

τιμάορος Ἰσθμίαισι Λαμπρομάχου
μίτραις, ὅτ᾽ ἀμφότεροι κράτησαν

μίαν ἔργον ἀν᾽ ἁμέραν. Στρ. δ΄.
ἄλλαι δὲ δύ᾽ ἐν Κορίν-
θου πύλαις ἐγένοντ᾽ ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ᾽ ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ᾽ ἐν Ἀθάναις.
οἷον δ᾽ ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ᾽ ἀργυρίδεσσιν·
φῶτας δ᾽ ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσσαις
διήρχετο κύκλον ὅσ-σᾳ βοᾷ,
ὡραῖος ἐὼν - καὶ καλὸς κάλλιστά τε ῥέξαις.

τὰ δὲ Παρρασίῳ στρατῷ Ἀντ. δ΄.
θαυμαστὸς ἐὼν φάνη
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ᾽ εὔδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ᾽ αὐτῷ Ἰολάου
τύμβος εἰναλία τ᾽ Ἐλευσὶς ἀγλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι·

---

lemma) *A*, unde ἔσποιτ᾽ αἰεί. ξενίᾳ Mommsen collato P. x 64. N. vii 65 — ἦλθον *Byz.*: ἤλυθον *ABCD* — 84. μίτραισιν *A* — 86. ἐγένοντο δ᾽ *D* — χάρμα *A* — 87. τᾶ δε *A* — 89. οἷον: οἷος coni. Jurenka — δ᾽ om. *A* — 92. ἀπτωτὶ ex schol. Bergk — 98. Πελλάνᾳ schol.: πελλάνα *ABCD* — αὐτῷ ex αὐτοῦ *B* — 99. εἰναλία *Z*: ἐναλία *ABCD*, ut P. ii 79. iv 27. 39. 204. xi 40. xii 12, unde ἐνναλία Schroeder — 100. πολὺ (οι supra υ scripto) *A* — 102. ἀρέσθαι *A*: ἀνελέσθαι *BCD*, αἱρεῖσθαι Aristid. ii 35 —

*ἄνευ δὲ θεοῦ σεσι-γαμένον*
*οὐ σκαιότερον - χρῆμ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι*

*ὁδῶν ὁδοὶ περαίτεραι,* *'Επ. δ'.*
*μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει*
*μελέτα· σοφίαι μὲν*
*αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,*
*ὄρθιον ὤρυσαι θαρσέων,*
*τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν*
*εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν,*
*Αἶαν, τεόν τ' ἐν δαιτὶ Ϝιλιάδα*
*νικῶν ἐπεστεφάνωσε βωμόν.*

---

103. *ἄνευ δὲ A* et schol.: *ἄνευθε δὲ BCD*, *ἄνευθε* Boeckh — 106. *ἄμμε* codd. dett. et schol.: *ἄμε E*, *ἅμα CD*, *ἅμα* (*ἅμε*?) *A*, *ἀμέρα B*, sed *ρα* s. l. — 108. *τοῦτον C* — 109. *ὤρυσαι B*² *C D*, *ὤρουσαι B* sed videtur *ω* ex *α* factum esse, *ὄρουσαι A*; *ὄρθι' ἀῦσαι θαρσέω* coni. Wilamowitz — 112. *Αἶαν τεόν τε* (*ἐν* omisso) coni. Hermann, *Αἰάντειόν τ' ἐν* codd., — *'Ιλιάδα B C*¹ et schol.: *Οἰλιάδα A D*, *ἰολιάδου* vel *ὀιλιάδου C*³; *Αἰάντεόν τ' ἐν δαίθ' ὃς 'Ιλιάδα* coni. Boeckh (*ὃς* add. *Byz.*).

## ΟΛΥΜΠ. Ι'.

# ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

### ΠΑΙΔΙ ΠΥΚΤΗι Ol. 74 = 484 a. Ch.

---

### Strophae.

⏑⏑ –⏑ ⏑ –   – ⏑ –   ⏑⏑ ⏑ ⏓|
⏒ – ⏑ –   –⏑ ⏑ – ⏑ ⏓|
⏑ – ⏑ – – ⏑⏑ ⏑ – –|⏑⏑ ⏑ – – ⏑⏑ ⏑ –   –|– –⏑ ⏑ –⏑
⏒ – – ⏑ ⏑⏑|– – ⏑ ⏓
⏑ – ⏑ –   – ⏑ ⏓|
⏒ –   –⏑ ⏑ – ⏑ ⏓|

### Epodi.

⏑ – ⏑⏑ ⏑ –⏑ ⏑ –,   –   –|⏑ ⏑⏑ –
⏑ – ⏑⏑ ⏑ –⏑ ⏑ –|
– ⏑⏑ ⏑ ⏑⏑ – ⏑⏑ ⏑ –   –|⏑ ⏑ – ⏒ – ⏑ ⏓
– –⏑ ⏑ –   –|⏑ ⏑ –   ⏑⏑ ⏑ – –
– –⏑ ⏑ – ⏑ –|
– – ⏑ – ⏑ –
⏑⏑ –⏑ ⏑ ⏓|
– –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓|
⏑ –⏑ ⏑ ⏑⏑ – –,   ⏑⏑ ⏑|– ⏑ –   –⏑ ⏑ ⏓|

*Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι* Στρ. α'.
*Ἀρχεστράτου παῖδα, πόθι φρενὸς*
*ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ*
*μέλος ὀφείλων ἐπιλέλαθ'.*
*ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ*
*Ἀλάθεια Διός, ὀρθᾷ χερὶ*
*ἐρύκετον ψευδέων*
*ἐνιπὰν ἀλιτοξένων.*

*ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος* Ἀντ. α'.
*ἐμὸν καταίσχυνε βαθὺ χρέος.*
*ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-*
*αν ἐπιμομφὰν τόκος ὁμαρτ-*
*έων· νῦν ψᾶφον ἑλισσομέναν*
*ὅπα κῦμα κατακλύσσει ῥέον,*
*ὅπα τε κοινὸν λόγον*
*φίλαν τίσομεν ἐς χάριν.*

*νέμει γὰρ Ἀτρέκεια πόλιν* Ἐπ. α'.
*Λοκρῶν Ζεφυρίων,*
*μέλει τέ σφισι Καλλιόπα*
*καὶ χάλκεος Ἄρης· τράπε δὲ Κύκ-*
*νεια μάχα καὶ ὑπέρβιον*

---

2. *ἀρχιστρ.* *A* — 6. *ἀλιτοξένων* coni. Mingarelli: *ἀλιτόξενον* codd. — 8. *καταίσχυνε* Boeckh: *καταισχύνει* *ABCD*, *κατήσχυνε* *Byz.* — *βραχὺ* $A^1$ — 9. *ἔτι μομφὰν* coni. Grumme — *τόκος ὁμαρτέων* scripsi: *τόκος θνατῶν* *ABD* et schol., *γε τόκος θνατῶν* *C*, *ὁ τόκος ἀνδρῶν* *Byz.*, *τόκος ὀπαδέων* Mommsen, *τόκος ὀνάτωρ* Hermann, *τόκος ὁ ναυτᾶν* Bergk, *τόκος· ὁρᾶτ' ὦν* Schneidewin, *τόκος· ἀθρῶμεν* Wiskemann — 13. *ἁ τραχεῖα πόλις* v. l. schol. — *πόλιν* $A^3$ *BCD*: *πόλις* $A^1$ — 14. *μέλει* *A*: *μέλλει* *BCD* — *σφι* *A* — 15. *Κύκνεια* Hermann: *Κυκνεία* *Byz.*, *κυκνέα* *ABCD* —

Ἡρακλέα. πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν
Ἴλᾳ φερέτω χάριν
Ἀγησίδαμος, ὡς
Ἀχιλεῖ Πάτροκλος·
θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι
κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ.

ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες, Στρ β'.
ἔργων πρὸ πάντων βιότῳ φάος.
ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι
θέμιτες ὦρσαν Διός, ὃν ἀρ-
χαίῳ σάματι παρ Πέλοπος
βωμῶν ἑξάριθμον ἐκτίσσατο,
ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα,

πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον Ἀντ. β'.
ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο· λόχμαισι δὲ δοκεύσαις
ὑπὸ Κλεωνᾶν δάμασε καὶ
κείνους Ἡρακλέης ἐφ' ὁδῷ,
ὅτι πρόσθε ποτὲ Τιρύνθιον

---

16. ὀλυμπιάδι νικῶν *D*: ὀλυμπία νικῶν *B*[1]*C*, ὀλυμπιονικῶν *A* — 17. ἴλᾳ *BD*: ἰόλα *AC* — 19. Ἀχιλλεῖ *CD* — 20. θάξαις Ahrens — κε *BD*: καὶ *AC* — φύντ' *ABD*: φῶτ' *C* — ποτὲ *A* — 21. παλάμαις *AC* — 22. τινὲς παῦροι *D* — 23. βιότω (ου supra) *C* — 24. ἐξήριτον ex schol. (?) elicuit Hermann — 25. βωμῶν *A* et schol.: βωμὸν *C*, βωμῷ *BD*; τὰ πρῶθ' coni. Rauchenstein, ipse πόνων tentavi — ἐκτίσατο *A* et schol.: ἐκτήσαθ' Ἡρακλέης *C*, ἡρακλέης ἐκτίσσ. *BD*, βίη Ἡρακλέος ἐκτίσσ. (βωμῶν ἑξάριθμον omissis) *Byz.* — 26. ποσειδάνειον *B* — 28. ὥστ' *A* — 29. ἀέκων θ' *C*[1] — 30. κἀκείνους codd. —

*ἔπερσαν αὐτῷ στρατὸν*
*μυχοῖς ἥμενοι Ἄλιδος*

*Μολίονες ὑπερφίαλοι.* Ἐπ. β'.
*καὶ μὰν ξεναπάτας*
*Ἐπειῶν βασιλεὺς ὄπιθεν*
*οὐ πολλὸν ἴδε πατρίδα πολυ-*
*κτέανον ὑπὸ στερεῷ πυρὶ*
*πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας*
*ἵζοισαν ἑὰν πόλιν.*
*νεῖκος δὲ κρεσσόνων*
*ἀποθέσθ' ἄπορον.*
*καὶ κεῖνος ἀβουλίᾳ ὕστατος*
*ἁλώσιος ἀντάσαις*
*θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.*

*ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν* Στρ. γ'.
*λαίαν τε πᾶσαν Διὸς ἄλκιμος*
*υἱὸς σταθμᾶτο ζάθεον ἄλσος*
*πατρὶ μεγίστῳ. περὶ δὲ πά-*
*ξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ*
*διέκρινε, τὸ δὲ κύκλῳ πέδον*
*ἔθηκε δόρπου λύσιν,*
*τιμάσαις πόρον Ἀλφεοῦ*

---

33. *ἥμενοι* Heyne: *ἥμενον* (*ἅμεν B*) *ABCD* et schol. — 34. *μολίωνες A* — *ξειναπ. AC* — 35. *βασιλεὺς ἐπειῶν BD* — 36. *ἴδε Byz.*: *εἶδε ABCD* — 41. *ἀβουλίᾳ* Tricl.: *ἀβουλίαις ABCD* — 42. *ἀντάσαις* Boeckh: *ἀντιάσας ABCD* — 43. *ἄρ'*: *ἂν A* — *ἔλσαις*: *ἑάσας A* — *τε* om. *C* — 45. *Ἆλιν* v. l. schol. — 46. *πέδον ἔθηκε* Tricl.: *δάπεδον θῆκε ABCD* — 48. *τιμάσαις*: *ἀγάλλων* coni. Hermann; cf. v. 90 —

μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον    Ἀντ. γ΄.
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε,
βρέχετο πολλᾷ νιφάδι. ταύ-
τᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν    Ἐπ. γ΄.
πόρσω κατέφρασεν,
ὅπα τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ
πενταετηρίδ' ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι, ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξᾳ
θέμενος εὖχος, ἔργῳ καθελών;

στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον    Στρ. δ΄.
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου

49. δώδεκα δ' *D* — ἀνάκτων: ἀθανάτων *C* — 51. νώνυμνος *Byz.*: νώνυμος *CD*, νώνυμον *AB* — τελευτᾷ *C* et lemma in *A* — 53. τ': δ' et deinde χρόνος τόδε coni. Hartung — 55. τὸ δ' ἐσ ἀφανὲς *CD* — 56. πολέμοιο ex corr. *A* — 57. ἀκρόθυνα *D* — 58. πρῶτα *BD* — 62. ἅρματι *ACD*: ἅρμασιν *B* — 63. ἐνδόξαν *D* (αν ex corr.) — 64. σταδίου coni. Hermann — εὐθὺν τόνον (εὐθὺν πόνον Hermann) coni. Thiersch: εὐθύτονον *ABCD*, εὐθύδρομον coni. Schmid — 65. ποσσὶ *AB*: ποσὶ *CD* —

*Οἰωνός· ἶκεν δὲ Μιδέαθεν*
*στρατὸν ἐλαύνων· ὁ δὲ πάλᾳ*
*κυδαίνων Ἔχεμος Τεγέαν·*
*Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος*
*Τίρυνθα ναίων πόλιν·*
*ἀν' ἵπποισι δὲ τέτρασιν*

*ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·* 'Αντ. δ'.
*ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν·*
*μᾶκος δὲ Νικεὺς ἔδικε, πέτρῳ*
*χέρα κυκλώσαις, ὑπὲρ ἁπάν-*
*των, καὶ συμμαχία θόρυβον*
*παραίθυξε μέγαν. ἐν δ' ἕσπερον*
*ἔφλεξεν εὐώπιδος*
*σελάνας ἐρατὸν φάος.*

*ἀείδετο δὲ πᾶν τέμενος* 'Επ. δ'.
*τερπναῖσι θαλίαις*
*τὸν ἐγκώμιον ἀμφὶ τρόπον.*
*ἀρχαῖς δὲ προτέραις ἑπόμενοι*
*καί νυν ἐπωνυμίαν χάριν*
*νίκας ἀγερώχου κελαδησόμεθα βροντὰν*
*καὶ πυρπάλαμον βέλος*
*ὀρσικτύπου Διός,*

---

67. *δὲ φέρε ἀπὸ πυγμᾶς B* — 69. *ἀνίπτοισι καὶ τετρ.* (*ἐν* supra *ἀν*) *A* — 70. *Σᾶμος ὡλιροθίου* Boeckh: *Σᾶμος ὁ Ἁλιρροθίου* v. l. schol., *σᾶμ' ἁλιρροθίου* (*-ίους* $A^{ac}$ et lemma in *A*) *A B C D* — 71. *ἄκοντι Φράστωρ δ'* Tricl.: *ἄκοντι δὲ Φράστωρ ABCD* — 72. *νικεὺς* (*δὲ* om.) *A*: *δ' ἐνικεὺς B C D* et schol. — *ὑπὲρ ἅπαντας Byz.* — *συμμαχία BCD*: *συμμαχίᾳ A*, utrumque schol. — 73. *παρέθηξε AB* — *ἂν δ'* Hartung — 76. *ἄειδε δὲ τὸ πᾶν* coni. Grashoff — *θαλίαισι C* — 80. πυρπάλαμνον C —

*ἐν ἅπαντι κράτει*
*αἴθωνα κεραυνὸν ἀραρότα.*
*χλιδῶσα δὲ μολπὰ πρὸς*
*κάλαμον ἀντιάξει μελέων,*

*τὰ παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν·* Στ. ε'.
*ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ*
*ποθεινὸς ἵκοντι νεότατος*
*τὸ πάλιν ἤδη, μάλα δέ ϝοι*
*θερμαίνει φιλότατι νόον·*
*ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα*
*ἐπακτὸν ἀλλότριον*
*θνάσκοντι στυγερώτατος·*

*καὶ ὅταν καλὰ ϝέρξαις ἀοιδᾶς ἄτερ,* Ἀντ. ε'.
*Ἁγησίδαμ', εἰς Ἀίδα σταθμὸν*
*ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις*
*ἔπορε μόχθῳ βραχύ τι τερπ-*
*νόν. τὶν δ' ἁδυεπής τε λύρα*
*γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν·*
*τρέφοντι δ' εὐρὺ κλέος*
*κόραι Πιερίδες Διός.*

*ἐγὼ δὲ συνεφαπτόμενος* Ἐπ. ε'.
*σπουδᾷ κλυτὸν ἔθνος*

---

84. *ἀντιάζει* C — 85. *εὐκλέι* Byz.: *εὐκλεεῖ* ABCD — 86. *ὥστε* codd. — 87. *νεότητος* $A^{s}$ et lemma in C: *νεότατι* $A^{1}$ BCD — *τὸ πάλιν* Tricl.: *τοὔμπαλιν* ABD, *δ' ἔμπαλιν* C — *δέ οἱ* Boeckh: *δέ τοι* ABCD; *οἱ* etiam scholia legisse videntur — 90. *θανόντι* coni. Hermann; cf. v. 48 — 91. *καλὰ* Byz.: *καλὰ μὲν* ABCD — 93. *ἔπορε· ἔλαβε* coni. Herwerden — *βραδὺ* v. l. schol. A — 94. *ἀναπλάσσει* A $C^{2}$ $D^{2}$ — 97. *ἐγώ τε* C —

Λοκρῶν ἀμφέπεσον, μέλιτι
εὐάνορα πόλιν καταβρέχων·
παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ' Ὀλύμπιον
κεῖνον κατὰ χρόνον,
ἰδέᾳ τε καλὸν
ὥρᾳ τε κεκραμένον, ᾅ ποτε
ἀναιδέα Γανυμήδει
μόρον ἄλαλκε σὺν Κυπρογενεῖ.

---

98. *ἀμφίεπον* susp. Bergk — 99. *ἐρατὸν Ἀρχ. ABCD, δ'* add. Mosch. — 100. *αἰνήσας A* — 104. *κεκραμμένον D* — 105. *γαννυμ. BCD* — *μόρον* coni. Mommsen: *θάνατον* codd., *πότμον* coni. Schmid.

## ΟΛΥΜΠ. ΙΑ΄

# ΑΓΗΣΙΔΑΜῼ ΛΟΚΡῼ ΕΠΙΖΕΦΥΡΙῼ

### ΠΑΙΔΙ ΠΥΚΤῌ Ol. 74 = 484 a. Ch.

---

Strophae.

–́ ⏑ – – –́ ⏖ – ⏖ – – |
–́ ⏑ – – –́ ⏖ – ⏖ – |
–́ ⏑ – – –̀ ⏖ – |
–́ ⏑ – ⏑ –̀ ⏑ –, – –́ ⏖ – ⏖ – ⏓ |
–́ ⏑ – – –̀ ⏑ –
–́ ⏑ – | – –̀ ⏑ – ⏓ –́ ⏖ – ⏖ – |

Epodi.

–́ ⏖ – ⏖ – – –́ ⏑ – – |
–́ ⏖ – ⏖ – –
–́ ⏑ – | ⏖́ ⏑ – – –́ ⏖ – ⏖ – |
–́ ⏑ – – –̀ ⏑ – ⏓ –̀ ⏑ – |
–́ ⏑ – – –̀ ⏑ – – –̀ ⏑ – |
–́ ⏑ – – –̀ ⏑ – |
–́ ⏖ – ⏖ – – –́ ⏑ – – –̀ ⏑ ⏓ |
–́ ⏖ – – –̀ ⏑ – – |
–́ ⏑ – ⏑ –̀ ⏑ – | –́ ⏑ – – –̀ ⏑ – ⏓ |

*Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα* *Στρ.*
*χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων,*
*ὀμβρίων παίδων νεφέλας.*
*εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσῃ, μελιγάρυες ὕμνοι*
*ὑστέρων ἀρχὰ λόγων*
*τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.*

*ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις* *Ἀντ.*
*οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα*
*γλῶσσα ποιμαίνειν ἐθέλει·*
*ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως·*
*ἴσθι νῦν, Ἀρχεστράτου*
*παῖ, τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν*

*κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας* *Ἐπ.*
*ἁδυμελῆ κελαδήσω,*
*τῶν Ἐπι- ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.*
*ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι*
*ὔμμιν, ὦ Μοῖσαι, φυγόξεινον στρατὸν*

---

4. *πόνῳ* codd. et schol.: *μόχθῳ* Hermann — *πράσσῃ* Hartung: *πράσσοι* *ABD*, *πράσσων* *C*, *πράσσει* Heyne — *μελίγαρυς* omisso *ὕμνοι* coni. Wilamowitz, *μελίγαρυς ἀοιδή* coni. Schmid — 5. *ἀρχὰ* *A* et schol.: *ἀρχαὶ* *BCDE* — 8. *ἄγκειται* *Byz.*: *ἔγκειται* *ABCDE*; cf. O. XIII 36 — 9. *ποιμαίνειν*: *πορσαίνειν* coni. Hecker — 10. *ὁμοίως* ex scholiis rest. Leutsch: *ὅμως ὧν* *CNO*, om. *ABDE*, *ἰσαεὶ* ante *πραπίδεσσιν* add. Mosch. Tricl., post *πραπίδεσσιν* add. *ἰσαιεὶ* Bergk[1] — 13. *κόσμον*: *κῶμον* coni. Bergk — *ἐπὶ* *BCD*: *ἀμφὶ* *A* — 15. *Ζεφυρίων* lemma in *A*, ut traditum est O. X 16 et P. II 20; *τῶν ἐπὶ Ζεφυρίῳ* coni. M. Schmidt, *τῶν ἐπὶ* del. Boehmer et Schroeder — 16. *ἐγγυάομαι* coni. Herwerden — 17. *ὔμμιν* ex schol. Bergk et De Jongh: *μή μιν* *ABCD*, *μή τιν'* Thiersch — *φυγόξεν.* *BD* —

*μηδ' ἀπείρατον καλῶν,*
*ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ*
*ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ*
*οὔτ' ἐρίβρομοι λέον- τες διαλλάξαντο Ϝῆθος.*

---

19. *δὲ* *EF* et schol.: *τε* *ABCD* — 20. *εὐφυὲς* *A* — 21. *οὔτ'* *BCD*: *οὐδ'* *A* — *διαλλάξαντο* Lehrs et Schroeder: *διαλλάξαιντο* codd., *διαλλάξαιντ' ἄν* Hartung.

ΟΛΥΜΠ. ΙΒ'

# ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩι

## ΔΟΛΙΧΕΙ Ol. 77 = 472 a. Ch.

---

### Strophae.

–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ ⏒|
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑⏑ –|
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ –|
–̈ ⏑ – – ∸ ⏑ – – –̈ ⏑⏑ ⏒|
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – –|
–̈ ⏑ – ⏒ ∸ ⏑ –|– –̈ ⏑⏑ – ⏑⏑ – –|–̈ ⏑ – – ∸ ⏑ ⏒|

### Epodi.

–̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – ⏒|
–̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – ⏒ ∸ ⏑ ⏒|
–̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ ∸ ⏑⏑ –|
– –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – – ∸ ⏑ – –|
–̈ ⏑ – ⏒ –̈ ⏑⏑ – ⏑⏑ –|
–̈ ⏑ – – ∸ ⏑ – – –̈ ⏑⏑ –|.
–̈ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ –| –̈ ⏑ – – ∸ ⏑ – –|

*Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,* *Στρ.*
*Ἱμέραν εὐρυσθενἔ ἀμφιπόλει, Σώτειρα Τύχα.*

---

2. ἱμέραν *AB*pc: ἱμέρα *B*ac*C*1, ἱμέρα *D*pc, ἱμέρας *C*2*D*ac — εὐρυσθενέος *CD*ac — ἀμφιπόλει *A*: ἀμφὶ πόλει BCD,

*τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ*
*νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι*
*κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν*
*πόλλ' ἄνω, τὰ δ' αὖ κάτω, ψεύδη μεταμώνια τάμ-*
*νοισαι, κυλίνδοντ' ἐλπίδες·*

*σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων* *'Αντ.*
*πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν,*
*τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.*
*πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,*
*ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς*
*ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ*
*πεδάμειψαν χρόνῳ.*

*υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,* *'Επ.*
*ἐνδομάχας ἅτ' ἀλέκτωρ, συγγόνῳ παρ' ἑστίᾳ*
*ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,*
*εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας.*
*νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος,*
*καὶ δὶς ἐκ Πυθῶνος, Ἰσθμοῖ τ', Ἐργότελες,*
*θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμι-*
*λέων παρ' οἰκείαις ἀρούραις.*

---

utrumque agnoscunt scholia — *τύχᾳ A* — 5. *βολαφόροι* $C^{ac}$ $D^{1}$, *βουληφόροι* $D^{s}$ — 6. *ψευδῆ* codd. — 8. *πράξηος A* — 10. *ἀνθρώποισι A* — *ἔπεσσεν B* — 11. *ἀνιεραῖς D* — 12. *πεδάμειψαν* $B^{1}CD$: *παῖδ' ἄμειψαν A*, *ποτάμειψαν* $B^{s}$ — 14. *συγγενεῖ* Hartung — 15. *κατεφυλλορόησεν* Hermann — 16. *Κνωσσ. A* — *σ' ἄμερσε A* et schol., *σ'* om. *BCDE* — 17. *δ' ἐν ὀλυμπία A* — 18. *δὶς ἐκ BCD*: *δι' ἐκ A*; *δὶς ἐν Πυθῶνι Byz.* — 19. *θερμᾶν? A*$^{s}$ — *λουτρᾶν A*.

## ΟΛΥΜΠ. ΙΓ'.

# ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι

### ΣΤΑΔΙΟΔΡΟΜΩι ΚΑΙ ΠΕΝΤΑΘΛΩι

Ol. 69 = 464 a. Ch.

---

Strophae.



Epodi.



*Τρισολυμπιονίκαν* *Στρ. α'.*
*ἐπαινέων - οἶκον ἅμερον ἀστοῖς,*
*ξένοισι δὲ θεράποντα, γνώσομαι*
*τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου*
*πρόθυρον Ποτει- δᾶνος, ἀγλαόκουρον.*
*ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασιγνή-*
*τα τε, βάθρον πολίων - ἀσφαλές,*
*Δίκα καὶ ὁμότροφος Εἰρήνα, ταμίαι ἀνδράσι πλούτου,*
*χρύσεαι - παῖδες εὐβούλου Θέμιτος·*

*ἐθέλοντι δ' ἀλέξειν* *Ἀντ. α'.*
*ὕβριν, κόρου - ματέρα θρασύμυθον.*
*ἔχω καλά τε φράσαι, τόλμα τέ μοι*
*εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν·*
*ἄμαχον δὲ κρύ- ψαι τὸ συγγενὲς ἦθος.*
*ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νι-*
*καφόρον ἀγλαΐαν - ὤπασαν*
*ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,*
*πολλὰ δ' ἐν - καρδίαις ἀνδρῶν ἔβαλον*

*Ὧραι πολυάνθεμοι ἀρ-* *Ἐπ. α'.*
*χαῖα σοφίσματα· πᾶν δ' εὑρόντος ἔργον.*

---

3. *ξέν. E*: *ξείν. B C D* — *δὲ*: *τε C* — 5. *ποτειδ. Byz.*: *ποσειδ. B C*, *ποτιδ. D E*; cf. v. 40 — 6. *ἐν τᾶδε γὰρ B D*pc — *κασιγνήτα C D*² et schol.: *κασίγνηται B D*¹ — *Δίκα πολίων ἀσφαλὲς βάθρον* Schmid — *ἀσφαλὲς* N.: *ἀσφαλὴς B C D* — 7. *ὁμότροφος C*¹ et schol.: *ὁμότροπος B C*² *D* — *εἰράνα C* — 9. *ἀλεξεῖν B C D E* — 10. *θρασύμυθον B E*: *θρασύθυμον C D*², *θρασύβουλον D*¹; fort. *θρασυμύθου* secundum O. ɪɪ 105 — 11. *καλά τοι* (an *ται*?, *τε* lemma) *φρ. B* — 14. *ὤπασεν C*¹ — 15. *ὑπερελθοῦσιν* Mosch. — *ἀέθλοισι B C D E* — 17. *σοφίσματα. ἅπαν B C*, *σοφίσματ'. ἅπαν D*: *σοφίσμαθ' ἅπαν Byz.* et edd. —

*ταὶ Διωνύσου πόθεν ἐξέφανεν*
*σὺν βοηλάτᾳ χάριτες - διθυράμβῳ;*
*τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,*
*ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον*
*ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,*
*ἐν δ' Ἄρης ἀνθεῖ νέων*
*οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.*

*ὕπατ' εὐρὺ ϝανάσσων* Στρ. β'.
*Ὀλυμπίας, - ἀφθόνητος ἔπεσσιν*
*γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,*
*καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων*
*Ξενοφῶντος εὔ- θυνε δαίμονος οὖρον·*
*δέξαι δέ ϝοι στεφάνων ἐγκώμιον τεθ-*
*μόν, τὸν ἄγει πεδίων - ἐκ Πίσας,*
*πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν*
*τῶν ἀνὴρ - θνατὸς οὔπω τις πρότερον.*

*δύο δ' αὐτὸν ἔρεψαν* Ἀντ. β'.
*πλόκοι σελί- νων ἐν Ἰσθμιάδεσσιν*
*φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ.*
*πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ*
*ῥεέθροισιν αἴγ- λα ποδῶν ἀνάκειται,*
*Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου τ'*
*ἀελίῳ ἀμφ' ἑνί, μη- νός τέ ϝοι*

---

18. *διων.* Mosch.: *διον.* *B C D* — 19. *βοηλάτω* *C* — 20. *τίς δ' ἄρ'* coni. Hermann probabiliter — fort. *ἱππείοισιν* — *ἔντεσσιν* Mosch.: *ἔντεσι* *B C D* — 21. *βασιλέα* Boeckh[2]: *βασιλῆα* codd., *βασιλῆα δίδυμνον* Boeckh[1] — 23. *αἰχμᾶσιν* *D*[1] — 26. *μένοιο* *B* — 29. *δέ* *B D*: *τέ* *C* et schol. — *Πισσ.* *C* — 31. *πρότερος* *C* — 37. *τ' ἔχει* *B D*: *δ' ἔχει* *C* et schol. —

*τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ϝέργα ποδαρκὴς*
*ἁμέρα - θῆκε κάλλιστ' ἀμφὶ κόμαις·*

*Ἑλλώτια δ' ἑπτάκις. ἐν* — Ἐπ. β΄.
*δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν*
*Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι*
*Τερψίᾳ θ' ἕψοντ' Ἐριτί- μῳ τ' ἀοιδαί.*
*ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε*
*ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν*
*περὶ πλή-θει καλῶν, ὡς μὰν σαφὲς*
*οὐκ ἂν εἰδείην λέγειν*
*ποντιᾶν ψάφων ἀριθμόν.*

*ἕπεται δὲ ϝεκάστῳ* — Στρ. γ΄.
*μέτρον· νοῆ- σαι δὲ καιρὸς ἄριστος.*
*ἐγὼ δὲ ϝίδιος ἐν κοινῷ σταλείς,*
*μῆτίν τε γαρύων παλαιγόνων*
*πόλεμόν τ' ἐν ἡ- ρωίαις ἀρεταῖσιν*
*οὐ ψεύσομ' ἀμφὶ Κορίνθου, Σίσυφον μὲν*
*πυκνότατον παλάμαις - ὡς θεόν,*
*καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,*
*ναΐ σώ- τειραν Ἀργοῖ καὶ προπόλοις.*

---

38. *ποδαρκὲς B* — 40. *ποτειδ.* lemma *B*, in *B τει* paene evanuit, *ποτιδ. D*, *ποσειδ. C*; cf. v. 5 — 42. *Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ'* ex schol. Schmid: *τέρψιες θ'* (*τερψίαιθ' B*[s], *θ'* non interpretantur schol.) *ἕψοντ' ἐρίτιμοι τ' B C D E* — *ἕσποντ'* coni. Bothe — 44. *πολέσι* (*-σιν C*) *B C*, *πολέεσσι D*, *πόλισιν* susp. Bergk — 46. *ψᾶφον D*[1] — 47. *δὲ ϝεκ.* susp. Mommsen: *δ' ἑκ. C* et schol., *δ' ἐν ἑκ. B D* — 51. *ἡρώαις B*[1] *D* — 52. *ψεύδομαι C*[1] — *κορίνθου N O*: *κορίνθῳ B*, *κορίνθω C D* (*ω* in ras. *D*), genetivo in simili re usus est poeta O. I 36 et N. X 4 — *ὡς θεὸν*] *ὑμνέων* vel *αἰνέων* coni. Bossler — *53. ἀντίαν B*[ac] — *αὐτᾷ*: fort. *αὐτάν* — 54. *προσπ. C*[po] *D* —

τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ — 'Αντ. γ'.
πρὸ Δαρδάνου-τειχέων ἐδόκησαν
ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
Ἑλέναν κομί-ζοντες, οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόν-
τα τρόμεον Δαναοί. - τοῖσι μὲν
ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν-κλᾶρον ἔμμεν καὶ μέγαρον·

ὃς τᾶς ὀφιώδεος υἱ- — 'Επ. γ'.
όν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
πρίν γέ Ϝοι χρυσάμπυκα κού- ρα χαλινὸν
Παλλὰς ἤνεγκ'· ἐξ ὀνείρου δ' αὐτίκα
ἦν ὕπαρ· φώνασε δ'· Εὕδεις, Αἰολίδα βασιλεῦ;
ἄγε φίλ-τρον τόδ' ἵππειον δέκευ,
καὶ Δαμαίῳ νιν θύων
ταῦρον ἀργᾶντα πατρὶ δεῖξον.

κυάναιγις ἐν ὄρφνᾳ — Στρ. δ'.
κνώσσοντί Ϝοι-παρθένος τόσα Ϝειπεῖν
ἔδοξεν· ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον-μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
πράγματος, ὥς τ' ἀνὰ βω-μῷ θεᾶς

65. πρίν τέ *C* — 68. σὺ δ' ἄγε coni. Hermann, ἄγε δὲ Mommsen — δέχευ *BD* — 69. ἀργᾶντα *BCD*: ἀργὸν *Byz.*, ἀργᾶν Hermann collato Aesch. Ag. 116, utrumque pessimis numeris — 71. τόσσα *BC* — 73. παρακ. $D^{ac}$ —

*κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ ϝοι αὐτὰ*
*Ζηνὸς ἐγ- χεικεραύνου παῖς ἔπορεν*

*δαμασίφρονα χρυσόν.* *'Αντ. δ'.*
*ἐνυπνίῳ - δ' ἆ τάχιστα πιθέσθαι*
*κελήσατό νιν, ὅταν δ' εὐρυσθενεῖ*
*καρταίποδ' ἀνερύῃ Γαιαόχῳ,*
*θέμεν 'Ιππείᾳ - βωμὸν εὐθὺς 'Αθάνᾳ.*
*τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον*
*καὶ παρὰ ϝελπίδα κού-φαν κτίσιν.*
*ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,*
*φάρμακον - πραῢ τείνων ἀμφὶ γένυι,*

*ἵππον πτερόεντ'· ἀναβὰς* *'Επ. δ'.*
*δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.*
*σὺν δὲ κείνῳ καί ποτ' 'Αμαζονίδων*
*αἰθέρος ψυχρᾶς ἀπὸ κόλ- πων ἐρήμων*
*τοξόταν βάλλων γυναικεῖον στρατόν,*
*καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.*
*διασω-πάσομαί ϝοι μόρον ἐγώ·*
*τὸν δ' ἐν Οὐλύμπῳ φάτναι*
*Ζηνὸς ἀρχαῖαι δέκονται.*

---

76. *ἀπὸ κείνου* Boeckh: *ἀπ' ἐκείνου* codd. — 79. *δ' ἆ E*: *δαὶ* $CD^1$, *δὲ* (*δε*) $BD^2$ — *πιθέσθαι D*: *πείθεσθαι B C* — 81. *ἀνερύῃ* Boeckh scholia secutus (cf. P. II 28. III 24. I. VIII 58): *ἀναρύῃ B C D*, *ἀνερύῃ* Mosch. — *γαιαόχῳ B C D*: *γεαόχῳ Byz.* — 82. *εὐθὺς B C D E*: *ἐγγὺς N O P* — 83. *τελεῖ B C D*: *πληροῖ* Tricl., *τέλλει* Hermann — *δὲ* om. *D* et Boeckh — *παρ' ἐλπ. Byz.*: *τὰν παρ' ἐλπ. B C D* — 85. *τεῖνον* $B^3$ — 86. *χαλκευτής* coni. Hecker — *ἔπαιξε C* — 88. *ἐρήμων* coni. Hermann: *ἐρήμου* codd. et schol. — 89. *βάλλων*: *βάλλεν* Boeckh — 90. *χείμεραν C* — 91. *διασωπ. B C D*: *διασιωπ.* Hermann *metro aliter constituto*; cf. I. I 63 —

*ἐμὲ δ' εὐθὺν ἀκόντων* *Στρ. ε'.*
*ἱέντα ῥόμ-βον παρὰ σκοπὸν οὐ χρὴ*
*τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.*
*Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν*
*Ὀλιγαιθίδαι- σίν τ' ἔβαν ἐπίκουρος.*
*Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ ϝέπει θή-*
*σω φανέρ' ἀθρό', ἀλα- θὴς τέ μοι·*
*ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν*
*ἁδύγλωσ- σος βοὰ κάρυκος ἐσλοῦ.*

*τὰ δ' Ὀλυμπίᾳ αὐτῶν* *Ἀντ. ε'.*
*ἔοικεν ἤ- δη πάροιθε λελέχθαι·*
*τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές·*
*νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν*
*τέλος· εἰ δὲ δαί- μων γενέθλιος ἕρποι,*
*Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσ-*
*σειν. τὰ δ' ὑπ' ὀφρύι Παρ- νασίᾳ,*
*ἐν Ἄργεΐ θ' ὅσσα καὶ ἐν Θήβαις, ὅσα τ' Ἀρκάσιν ᾅσσων*
*μαρτυρή- σει Λυκαίου βωμὸς ἄναξ,*

---

95. *κρατ. D* — 96. *μοίσαις* Mosch.: *μοίσαισι BCD* — *ἑκὼν Byz.*: *εἴκων BCD* — 97. post *ἐπίκουρος* ante Bergkium non interpungebatur — 98. *παύρῳ ϝέπει θήσω* coni. Bergk: *παύρῳ δ' ἔπει θήσω D* et schol., *παύρῳ δ' ἐπιθήσω B C* — 99. *ἔξορκος* scripsi: *ἐξορκος* codd. et schol., *εἰς ὅρκος* coni. Bergk, *ἀνθόρκιος ἔσσεται* Hartung, *εὐόρκῳ* Bossler — *δὴ* coni. Hermann: *δ' BCD* — 103. *τά τ' BD*: *τά δ' C* — 105. *ὁ γενέθλ. B C D*, *ὁ* om. *N* — 106. *Δὶ* Boeckh: *διὶ* codd. — *Παρνασσ. C B*pc — 107. *ἐν Ἄργεΐ θ'* N: *ἐν Ἄργει δ' D*, *ἐξ ἄρατο ἐν Ἄργει δ' B*, *ἐξ ἄργει θ' C*, *ἐξ· Ἄργει δ'* Bergk — *ὅσα τ'* codd.: *ὅσα δ'* Hermann — *Ἀρκάσιν ᾅσσων* scripsi: *Ἀρκάσιν ἀνάσσων BCD*, *Ἀρκὰς ἀνάσσων Byz.*, *Ἀρκὰς ἀνάσσων* Hermann, *Ἀρκάδ' ἀν' αἶαν* Häberlin, *Ἀρκάσιν ἄθλοις* Kayser, *Ἀρκάσι βάσσαις* Bergk —

*Πέλλανά τε καὶ Σικυὼν*   *Ἐπ. ε'.*
*καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,*
*ἅ τ' Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών,*
*ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου-καλλίπλουτοι*
*πόλιες, ἅ τ' Εὔβοια· καὶ πᾶσαν κατὰ*
*Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς διῖμεν.*
*ἄνα, κού-φοισιν ἐκνεῦσαι ποσίν·*
*Ζεῦ τέλει', αἰδῶ δίδοι*
*καὶ τύχαν τερπνῶν γλυκεῖαν.*

---

109. *πελά.* $C^{ac}$ — 113. *διῖμεν* scripsi: *ἰδέμεν* codd., *ἀριθμεῖν* coni. Hartung — 114. *ἄνα* coni. Pauw: *ἀλλὰ* codd. — 115. *αἰδῶ δίδοι* Boeckh: *αἰδῶ τε δίδοι* *BCD*, *αἰδῶ διδοὺς* *Byz.*

## ΟΛΥΜΠ. ΙΔ΄.

# ΑΣΩΠΙΧῼ ΟΡΧΟΜΕΝΙῼ

### ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

Ol. 76 = 476 a. Ch.

---

Strophae.



*Καφισίων ὑδάτων λαχοῖσαι* *Στρ. α΄.*
*αἵτε ναίετε καλλίπωλον ἕδραν,*
*ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι*

---

1. *καφισσ. D* — *αἵτε* codd.: *ταίτε* Bergk, *λαχοῖσαν αἵτε* Boeckh, verisimiliter — *καλλίπωλον B C*[2] *D*: *καλλίβωλον C*[1], utrumque schol. —

*Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,*
*κλῦτ', ἐπεὶ εὔχομαι·*
*σὺν γὰρ ὔμ- μιν τά τε τερπνὰ καὶ*
*τὰ γλυκέ' ἄνεται - πάντα βροτοῖς,*
*εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.*
*οὐδὲ γὰρ θεοὶ ἀγ- νᾶν Χαρίτων ἄτερ*
*κοιρανέοντι χοροὺς*
*οὔτε δαῖτας· ἀλλὰ πάν- των ταμίαι*
*ἔργων ἐν οὐρανῷ,*
*χρυσότο- ξον θέμεναι παρὰ*
*Πυθῷον Ἀπόλλωνα θρόνους,*
*ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.*

*ὦ πότνι' Ἀγλαΐα φιλησί-* Στρ. β'.
*μολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου*
*παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε*
*ἐρασίμολπε, Ϝιδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ*
*κοῦφα βιβῶντα· Λυ-*
*δῷ γὰρ Ἀ- σώπιχον ἐν τρόπῳ*

---

3. Ὀρχ. *BCDE*: Ἐρχ. ex recc. codd. Boeckh; cf. I. I 35 — 4. *ὔμμιν* Hermann: *ὑμῖν BCD*, *σὺν ὔμμιν γὰρ* coni. Boeckh, vide antistr. — *τά τε τερπνὰ* coni. Hermann: *τὰ τερπνὰ BD*, *τὰ τερπνά τε C* — 5. *γλυκέα γίνεται* codd., *γλυκέ' ἄνεται* coni. Kayser, cui coniecturae glossa cod. N *τανύεται* a Schroedero Philol. 54, 283 edita favet — 7. *οὐδὲ* coni. Schneidewin: *οὔτε* codd. — *οἱ θεοὶ D* — *ἀγνᾶν* coni. Kayser: *σεμνᾶν* codd., *θεμερᾶν θεοὶ* Bergk; conf. antistr. — 8. *κοιρανέοντι* codd.: *κοιρανέοισιν* Boeckh; vide antistr. — 9. *χορὸν* $C^{3}$ — 10. *Πυθῷον* Ahrens: *πύθιον* codd. — *Ἀπόλλωνος* $C^{1}$ — 11. *ἀέναον* *Byz.*: *ἀέννaον BCD* — 12. *ὦ* om. *BCD*, add. Boeckh — *κρατίστου παῖδες* codd.: *κρατιστόπαιδες* interpretantur schol. — 13. *ἐπακοοῖτε νυν* coni. Bergk: *ἐπάκοοι νῦν* codd. et schol., *ἐπαΐοιτε νῦν* coni. Hartung, *ἐπάκοοι τὸ νῦν* Hermann 1847 — 14. *ἐρασίκολπε* coni. Vogt — 15. *Λυδῷ* coni. Pauw: *λυδίῳ* codd. — *Ἀσώπιον E* —

*ἐν μελέταις τ' ἀεί-δων ἔμολον,*
*οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινύεια*
*σεῦ ϝέκατι. μελαν- τειχέα νῦν δόμον*
*Φερσεφόνας ἔλυθ', Ἀ-*
*χοῖ, πατρὶ κλυτὰν φέροισ' - ἀγγελίαν,*
*Κλεόδαμον ὄφρ' ἰδοῖσ'*
*υἱὸν εἴ- πῃς, ὅτι ϝοι νέαν*
*κόλποισι παρ' εὐδόξου Πίσας*
*ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.*

---

16. *ἔν τε μελέταις* coni. Hermannus; v. stroph. — 18. *μελάν-τειχέα* codd.: *μελανοτ.* Boeckh; vide stroph. — 19. *περσεφ.* *C* — *ἔλυθ'* coni. Ahrens: *ἐλθὲ* *B C D*, *ἴθι* *Byz.*; *Φερσεφόνειον ἴθ' Ἀχοῖ* coni. Hermann — 20. *κλεοδάμῳ* *B* — *νέον* *B* — 21. *κόλποισι* *B C D*: *κόλποις* *E*; vide stroph. — *εὐδόξου* coni. Boeckh: *εὐδόξοιο* *B C D*, *εὐδόξοις* coni. Bergk.

# ΠΥΘΙΟΝΙΚΑΙΣ.

## Α'.

# ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι

### ΑΡΜΑΤΙ

Pyth. 29 = 474 (470*) a. Ch.

---

Strophae.

–̈ ⏑ – – –̇ ⏑ – – | –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̇ ⏖ – | –̈ ⏑ – – –̈ ⏖ – ⏖ –̇ – ⏓ |
–̈ – –̇ ⏑ – – –̇ ⏑ ⏓ |
– –̈ ⏖ – ⏖ – ⏓ –̈ ⏑ – | –̈ ⏑ – – –̈ ⏖ – ⏖ – |
–̈ ⏑ – – –̇ ⏑ – – –̇ ⏑ ⏓ |
–̈ ⏖ – ⏖ – | –̈ ⏑ – – –̈ ⏖ – ⏖ – | – –̈ ⏖ – ⏖ – |
[ –̈ ⏑ – ⏓ |

Epodi.

–̈ ⏖ – ⏖ – – | –̈ ⏑ – – –̇ ⏑ ⏓ |
–̈ ⏖ – ⏖ – ⏓ | –̈ ⏑ – – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̇ ⏑ – – | –̇ ⏑ – ⏖̈ – ⏓ |
– –̈ ⏖ – ⏖ – – –̈ ⏑ ⏓ |
⏖̈ ⏑ – – –̈ ⏖ – | ⏖ – – –̈ ⏑ – |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – – |
⏖̈ ⏑ – – –̇ ⏑ – –,| –̈ ⏑ – – –̇ ⏑ – – | –̈ ⏖ – ⏖ ⏓ |
⏖ – – –̈ ⏖ –,| ⏖̈ ⏑ – – –̇ ⏑ – ⏓ |

---

*) numeri uncinis inclusi sunt Bergkiani calculi, qui Pythiades a Pythiade Ol. 49, 3 (non Ol. 48, 3) tamquam prima numerari ducebat.

*Στρ. α'.*

*Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων*
*σύνδικον Μοισᾶν κτέανον·*
*τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,*
*πείθονται δ' ἀοιδοὶ σάμασιν,*
*ἁγησιχόρων ὁπόταν προοιμίων*
*ἀμβολὰς τεύχῃς ἐλελιζομένα.*
*καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις*
*ἀενάου πυρός· εὕ-*
*δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖ-*
*αν πτέρυγ' ἀμφοτέρω- θεν χαλάξαις*

*Ἀντ. α'.*

*ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί Ϝοι νεφέλαν*
*ἀγκύλῳ κρατί, γλεφάρων*
*ἁδὺ κλαΐστρον, κατέχευας· ὁ δὲ κνώσσων*
*ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς*
*ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-*
*τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν*
*ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν*
*κώματι, κῆλα δὲ καὶ*
*δαιμόνων θέλγει φρένας, ἀμφί τε Λατοί-*
*δα σοφίᾳ βαθυκόλ- πων τε Μοισᾶν.*

*ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν* *Ἐπ. α'.*
*Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,*
*ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν - πολέμιος,*

---

6. *ἀεννάου CD* — *ἀετὸς D* — 8. *κλᾶστρον C* — 10. *κατασχόμενος C*: *καταγχόμενος DE* — 12. *κώματι C*: *κώμῳ D* — 13. *ἀτύζονται CE*: *ἀτύζηται D*, pluralem tuetur paraphrasis — 14. *ἀίοντες* coni. Boehmer — 15. *ἐν εὐνᾷ Ταρτάρου* coni. Thiersch —

Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει
στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες
χιόνος ὀξείας τιθήνα.

Στρ. β'.

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ
δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμ-
πει· τέρας μὲν θαυμάσιον προσιδέσθαι,
θαῦμα δὲ καὶ παρεόν- των ἀκοῦσαι,

Ἀντ. β'.

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ϝανδάνειν

---

18. ἁλιερκὲς C — 20. τιθάνα C — 24. κυλινδομένας coni. Thiersch probabiliter — 26. προσιδέσθαι C et Gellius XVII 10 atque Macrobius V 17, 9: πυθέσθαι D — παρεόντων C, παριόντων D et schol., unde παρ' ἰδόντων coni. post Coraem Cobet N. L. 144, προσιδόντων Hecker — 27. μελαμφύλλου coni. Herwerden —

ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ'
ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν ἀγγέλ-
λων Ἱέρωνος ὑπὲρ - καλλινίκου

Ἐπ. β'.

ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις
ἐς πλόον, ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. - ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλοι' ἀνάσσων
Φοῖβε, Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν εὔανδρόν τε χώραν.

Στρ. γ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι

---

30. γαίη *D* — 32. ἀγγέλλων ὡς *D* — 34. ἀρχομένοις *D*: ἐρχομένοις *C* — 35. καὶ τελευτᾶ $C^1$: ἐν καὶ τελευτᾶ *D* $C^2$, unde κἀν τελευτᾷ Mosch. — φερτέρου $C^1$ et schol.: φερτέρα $C^2$ *D* — 37. ἔσεσθαι *CD* — στεφάνοισί νιν ex scholiis Heyne: στεφάνοισιν *CD* — 38. θαλείαις *C* — 39. παρνασοῦ $C^2$: παρνασῷ $C^1$ *D*; genetivum interpretatur paraphrasis — 40. εὐανδροῦν coni. Hermann opusc. VII 115 — 43. ἔλκομαι *D* —

*μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶ-*
*νος βαλεῖν ἔξω παλάμᾳ δονέων,*
*μακρὰ δὲ ῥίψαις ἀμεύσεσθ' ἀντίους.*
*εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-*
*βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύ-*
*νοι, καμάτων δ' ἐπίλα- σιν παράσχοι.*

*ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις* *'Αντ. γ'.*
*τλάμονι ψυχᾷ παρέμειν',*
*ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,*
*οἵαν οὔτις Ἑλλάνων δρέπει,*
*πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν*
*τὰν Φιλοκτήταο δίκαν ἐφέπων*
*ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ νιν φίλον*
*καί τις ἐὼν μεγαλά-*
*νωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλκει*
*τειρόμενον μετανάσ- σοντας ἐλθεῖν*

*ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·* *'Επ. γ'.*
*ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους*
*Δαναοῖς,*
*ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοι-ρίδιον ἦν.*
*οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι*

---

45. *μακραὶ C* — *ῥίψας CD*, *Ϝρίψαις* Mommsen — *ἀμεύσεσθ'* $C^1$: *ἀμεύσασθ' D* $C^2$ — *ἐναντίους C* — 47. *ἀμμνάσειεν* ex scholiis Schmid: *ἂν μνάσειεν CD* — *οἵαισιν πολέμοιο* coni. Hecker, *οἵαις σύν ποτ' ἕταισι* ipse tentavi — 48. *παλάμαις* Tricl.: *παλάμαισι CD*; *εὕρισκεν παλάμαισι θεῶν* coni. Boeckh — 50. *Φιλοκτήτοιο* $C^{ac}$ — 51. *ἀνάγκα μιν φίλον CD*: *ἀναγκαίᾳ φίλον* coni. Hermann opusc. VII 113, *ἀνάγκᾳ μὴ φίλον* Rauchenstein, *ἀνάγκᾳ νιν νόσον* Mommsen — 52. *μετανάσσοντας* coni. Wakefield ad Soph. Phil. 203: *μεταλάσσοντας C*, *μεταλλάσσοντας D*, *μεταβάσοντας* coni. Kayser — 56. *ὀρθωτὴς C*; *θεὸς*

*τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.*
*Μοῖσα, καὶ παρ Δεινομένει κελαδῆσαι*
*πίθεό μοι ποινὰν τεθρίππων·*
*χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος·*
*ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ*
*φίλιον ἐξεύρωμεν ὕμνον.*

*τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ* *Στρ. δ'.*
*Ὑλλίδος στάθμας Ἱέρων*
*ἐν νόμοις ἔκτισσ'. ἐθέλοντι δὲ Παμφύλου*
*καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι*
*ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-*
*εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ*
*Δωριῆς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,*
*Πινδόθεν ὀρνύμενοι,*
*λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι*
*γείτονες, ὧν κλέος ἄν-θησεν αἰχμᾶς.*

*Ἀντ. δ'.*

*Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ*
*αἶσαν ἀστοῖς καὶ βασιλεῦ-*
*σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.*
*σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,*
*υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί-*

*σωτὴρ* coni. Hartung — 58. *πὰρ* Tricl.: *παρὰ* $C^{ac}$ *D*, *περὶ* $C^{pc}$ — *Δεινομένη* $C^{ac}$ — 59. *πίθεο* Tricl.: *πείθεο* *CD* — 60. *ἐξεύρομεν* $C^1$, *ἐξάρχωμεν* coni. Naber collato N. II 25 — 61. *κλεινὰν* *C* — 62. *ἔκτισσε. θέλ.* *V*: *ἔκτισεν* *C*, *ἔκτισε* *D* — *παμφύλω* *E* — 65. *δωριῆς* *CD*: *δωριεῖς* *E*, *Δωρίοις* coni. Hermann probabiliter — 66. *ὀρνύμενον* *D* — 67. *τέλει'* *C*: *τέλει* *D*; *δὲ δὸς ταύταν* coni. Mommsen, *διακρίνει' ἔτυμον* (vel *ἐτύμαν*) *λόγος* coni. Jurenka — 69. *τίν* $C^{pc}$ — *ἁγιστὴρ* *D* — 70. *τ'* codd., *γ'* coni. Bothe — *ἐπιτελόμενος* *C* — *τε γεραίρων*

ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοῖ-
νιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ, ναυ-
σίστονον ὕβριν ἰδὼν-τὰν πρὸ Κύμας·

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον, 'Επ. δ'.
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλι-
κίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας. - ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέων πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων.

Στρ. ε'.
καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·

---

$DC^2$ — ἐς om. $D$ — 71. ἅμερος coni. Hartung; ἅμερον, ὄφρα interpungendum censuit Madvig Advers. I 187 — 72. ἀλαλητὸς $C$ — ἔχοι $C$ — 73. συρρακουσίων $C$ — 74. ὅς σφιν $C^2$: ὃ σφιν $C^1$ $D$ — βάλετ' $C^a$, βάλεν coni. Hecker — 75. ἀρέομαι coni. Dawes: αἱρέομαι $C$, αἱρέομαι $D$ — 76. χάρις $C^{ac}$ — 77. δ' ἐρέων coni. Bothe: δ' ἐρέω τὰν $CD$, δ' ἐρέω $E$, δὲ κλέων in proecdosi scripseram — 78. μήδειοι $E$ $F$: μῆδοι $C$ $D$ — 79. παρὰ Tricl.: πὰρ $CD$ — ἔνυδρον $C$, εὔυδρον $C^2$ — τελέσσαις $C^1 D^{ac}$, τελέσσας $D^{pc}$ $C^2$, τελέσαιν Bergk (cf. N. VIII 38) — 82. μεῖον $C$ — 83. αἰανὴς C $D^1$: αἰανὸς $D^2$ — ἐλπίδας]

ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώ-
μα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευ-
δεῖ δὲ πρὸς ἄκμονι χάλ-κευε γλῶσσαν.

'Αντ. ε'.

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
παρ σέθεν. πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἀδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν.
μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρ-
δεσσ'· ὀπιθόμβροτον αὔ-χημα δόξας

οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει 'Επ. ε'.
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων
ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νη- λέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,

---

ἀκάδις v. l. in *X*, unde ἀπίδας Pauw — 84. ἐσλ. *E*: ἐσθλ. *CD* — 88. ἀμφοτέροις Mosch.: ἀμφοτέροισι *CD* — 89. παραμ. *D*ac — 91. ὥσπερ *C*: ὥστε *D* — 92. ἀνεμόεν πετάσαις (vel — σας) codd. vett., ἀμπετάσας Tricl., πετάσαις eiec. ed. Rom. — ὦ φίλος εὐτραπέλοις κέρδεσσ' coni. Hermann: ὦ φίλε κέρδεσιν ἐντραπέλοις (εὐτρ. ex corr. man. rec.) *CD*, ὦ φίλ' ἐντρ. κέρδεσσ' coni. Bergk, ὦ φίλε κέρδεσιν εὐτράπλοις coni. Buecheler — 93. οἷον *D*²: οἶον *CD*¹ — 96. παντᾶ *CD* —

# ΠΥΘΙΟΝΙΚΑΙΣ.

## Α΄.

# ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι

### ΑΡΜΑΤΙ

Pyth. 29 = 474 (470*) a. Ch.

---

### Strophae.

⁚– ⏑ – – ·– ⏑ – – | ⁚– ⏑⏑ – ⏑⏑ ⏓ |
⁚– ⏑ – – ·– ⏑⏑ – | ⁚– ⏑ – – ⁚– ⏑⏑ – ⏑⏑ ·– – ⏓ |
⁚– – ·– ⏑ – – ·– ⏑ ⏓ |
– ⁚– ⏑⏑ – ⏑⏑ – ⏓ ⁚– ⏑ – | ⁚– ⏑ – – ⁚– ⏑⏑ – ⏑⏑ – |
⁚– ⏑ – – ·– ⏑ – – ·– ⏑ ⏓ |
⁚– ⏑⏑ – ⏑⏑ – | ⁚– ⏑ – – ⁚– ⏑⏑ – ⏑⏑ – | – ⁚– ⏑⏑ – ⏑⏑ – |
[ ⁚– ⏑ – ⏓ |

### Epodi.

⁚– ⏑⏑ – ⏑⏑ – – | ⁚– ⏑ – – ·– ⏑ ⏓ |
⁚– ⏑⏑ – ⏑⏑ – ⏓ | ⁚– ⏑ – – ⁚– ⏑⏑ – ⏑⏑ ⏓ |
⁚– ⏑ – – ·– ⏑ – – | ·– ⏑ – ⁚⏑⏑ – ⏓ |
– ⁚– ⏑⏑ – ⏑⏑ – – ⁚– ⏑ ⏓ |
⁚⏑⏑ ⏑ – – ⁚– ⏑⏑ – | ⏑⏑ – – ⁚– ⏑ – |
⁚– ⏑ – – ⁚– ⏑⏑ – ⏑⏑ – – |
⁚⏑⏑ ⏑ – – ·– ⏑ –, | ⁚– ⏑ – – ·– ⏑ – – | ⁚– ⏑⏑ – ⏑⏑ ⏓ |
⏑⏑ – – ⁚– ⏑⏑ –, | ⁚⏑⏑ ⏑ – – ·– ⏑ – ⏓ |

---

*) numeri uncinis inclusi sunt Bergkiani calculi, qui Pythiades a Pythiade Ol. 49, 3 (non Ol. 48, 3) tamquam prima *numerari ducebat.*

Στρ. α'.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον·
τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
πείθονται δ' ἀοιδοὶ σάμασιν,
ἀγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός· εὕ-
δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖ-
αν πτέρυγ' ἀμφοτέρω- θεν χαλάξαις

Ἀντ. α'.

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί ϝοι νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων
ἁδὺ κλαῗστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ
δαιμόνων θέλγει φρένας, ἀμφί τε Λατοί-
δα σοφίᾳ βαθυκόλ- πων τε Μοισᾶν.

ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν Ἐπ. α'.
Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν - πολέμιος,

---

6. ἀεννάου CD — ἀετὸς D — 8. κλᾶστρον C — 10. κατασχόμενος C: καταγχόμενος DE — 12. κώματι C: κώμῳ D — 13. ἀτύζονται CE: ἀτύζηται D, pluralem tuetur paraphrasis — 14. ἀίοντες coni. Boehmer — 15. ἐν εὐνᾷ Ταρτάρου coni. Thiersch —

*Τυφὼς ἑκατοντακάρανος· τόν ποτε*
*Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν*
*ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι*
*Σικελία τ' αὐτοῦ πιέζει*
*στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,*
*νιφόεσσ' Αἴτνα, πάνετες*
*χιόνος ὀξείας τιθήνα.*

*Στρ. β'.*

*τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται*
*ἐκ μυχῶν παγαί· ποταμοὶ*
*δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ*
*αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας*
*φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-*
*αν φέρει πόντου πλάκα σὺν πατάγῳ.*
*κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν*
*δεινοτάτους ἀναπέμ-*
*πει· τέρας μὲν θαυμάσιον προσιδέσθαι,*
*θαῦμα δὲ καὶ παρεόν- των ἀκοῦσαι,*

*Ἀντ. β'.*

*οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς*
*καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-*
*σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.*
*εἴη, Ζεῦ, τὶν εἴη ϝανδάνειν*

---

18. *ἁλιερκὲς C* — 20. *τιθάνα C* — 24. *κυλινδομένας* coni. Thiersch probabiliter — 26. *προσιδέσθαι C* et Gellius XVII 10 atque Macrobius V 17, 9: *πυθέσθαι D* — *παρεόντων C*, *παριόντων D* et schol., unde *παρ' ἰδόντων* coni. post Coraem Cobet N. L. 144, *προσιδόντων* Hecker — 27. *μελαμφύλλου* coni. *Herwerden* —

ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
  ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ'
  ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν ἀγγέλ-
  λων Ἱέρωνος ὑπὲρ - καλλινίκου

Ἐπ. β'.

ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις
ἐς πλόον, ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. - ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλοι' ἀνάσσων
  Φοῖβε, Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
  τιθέμεν εὔανδρόν τε χώραν.

Στρ. γ'.

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
  ταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι

---

30. γαίη *D* — 32. ἀγγέλλων ὡς *D* — 34. ἀρχομένοις *D*: ἐρχομένοις *C* — 35. καὶ τελευτᾶ $C^1$: ἐν καὶ τελευτᾶ *D* $C^2$, unde κἀν τελευτᾷ Mosch. — φερτέρου $C^1$ et schol.: φερτέρα $C^s$ *D* — 37. ἔσεσθαι *CD* — στεφάνοισί νιν ex scholiis Heyne: στεφάνοισιν *CD* — 38. θαλείαις *C* — 39. παρνασοῦ $C^s$: παρνασῶ $C^1$ *D*; genetivum interpretatur paraphrasis — 40. εὐανδροῦν coni. Hermann opusc. VII 115 — 43. ἕλκομαι D —

*μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶ-*
*νος βαλεῖν ἔξω παλάμᾳ δονέων,*
*μακρὰ δὲ ῥίψαις ἀμεύσεσθ' ἀντίους.*
*εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-*
*βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύ-*
*νοι, καμάτων δ' ἐπίλα- σιν παράσχοι.*

*ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις* *Ἀντ. γ'.*
*τλάμονι ψυχᾷ παρέμειν',*
*ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,*
*οἵαν οὔτις Ἑλλάνων δρέπει,*
*πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν*
*τὰν Φιλοκτήταο δίκαν ἐφέπων*
*ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ νιν φίλον*
*καί τις ἐὼν μεγαλά-*
*νωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλκει*
*τειρόμενον μετανάσ- σοντας ἐλθεῖν*

*ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·* *Ἐπ. γ'.*
*ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους*
*Δαναοῖς,*
*ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοι-ρίδιον ἦν.*
*οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι*

---

45. *μακραὶ* C — *ῥίψας* CD, *Ϝρίψαις* Mommsen — *ἀμεύσεσθ'* $C^1$: *ἀμεύσασθ'* D $C^2$ — *ἐναντίους* C — 47. *ἀμμνάσειεν* ex scholiis Schmid: *ἂν μνάσειεν* C D — *οἵαισιν πολέμοιο* coni. Hecker, *οἵαις σύν ποτ' ἔταισι* ipse tentavi — 48. *παλάμαις* Tricl.: *παλάμαισι* CD; *εὕρισκεν παλάμαισι θεῶν* coni. Boeckh — 50. *Φιλοκτήτοιο* $C^{ac}$ — 51. *ἀνάγκα μιν φίλον* CD: *ἀναγκαίᾳ φίλον* coni. Hermann opusc. VII 113, *ἀνάγκᾳ μὴ φίλον* Rauchenstein, *ἀνάγκᾳ νιν νόσον* Mommsen — 52. *μετανάσσοντας* coni. Wakefield ad Soph. Phil. 203: *μεταλάσσοντας* C, *μεταλλάσσοντας* D, *μεταβάσοντας* coni. Kayser — 56. *ὀρθωτὴς* C; *θεὸς*

*τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.*
*Μοῖσα, καὶ παρ Δεινομένει κελαδῆσαι*
*πίθεό μοι ποινὰν τεθρίππων·*
*χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος·*
*ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ*
*φίλιον ἐξεύρωμεν ὕμνον.*

*τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ* Στρ. δ'.
*Ὑλλίδος στάθμας Ἱέρων*
*ἐν νόμοις ἔκτισσ'. ἐθέλοντι δὲ Παμφύλου*
*καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι*
*ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-*
*εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ*
*Δωριῆς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,*
*Πινδόθεν ὀρνύμενοι,*
*λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι*
*γείτονες, ὧν κλέος ἄν-θησεν αἰχμᾶς.*

Ἀντ. δ'.

*Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ*
*αἶσαν ἀστοῖς καὶ βασιλεῦ-*
*σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.*
*σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,*
*υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί-*

---

*σωτὴρ* coni. Hartung — 58. *πὰρ* Tricl.: *παρὰ* $C^{ac}$ *D*, *περὶ* $C^{pc}$ — *Δεινομένη* $C^{ac}$ — 59. *πίθεο* Tricl.: *πείθεο CD* — 60. *ἐξεύρομεν* $C^{1}$, *ἐξάρχωμεν* coni. Naber collato N. II 25 — 61. *κλεινὰν C* — 62. *ἔκτισσε. θέλ. V*: *ἔκτισεν C*, *ἔκτισε D* — *παμφύλω E* — 65. *δωριῆς CD*: *δωριεῖς E*, *Δωρίοις* coni. Hermann probabiliter — 66. *ὀρνύμενον D* — 67. *τέλει' C*: *τέλει D*; *δὲ δὸς ταύταν* coni. Mommsen, *διακρίνει' ἔτυμον* (vel *ἐτύμαν*) *λόγος* coni. Jurenka — 69. *τίν* $C^{pc}$ — *ἁγιστὴρ* D — 70. *τ'* codd., *γ'* coni. Bothe — *ἐπιτελόμενος* C — τε γεραίρων

ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοί-
 νιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ, ναυ-
 σίστονον ὕβριν ἰδὼν-τὰν πρὸ Κύμας·

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον, 'Επ. δ'.
ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλι-
 κίαν,
Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας. - ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέων πρὸ Κιθαιρῶνος μάχαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν
 Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,
τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
 πολεμίων ἀνδρῶν καμόντων.

Στρ. ε'.
καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
 μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·

---

*D* $C^2$ — ἐς om. *D* — 71. ἅμερος coni. Hartung; ἅμερον, ὄφρα interpungendum censuit Madvig Advers. I 187 — 72. ἀλαλητὸς *C* — ἔχοι *C* — 73. συρρακουσίων *C* — 74. ὅς σφιν $C^2$: ὃ σφιν $C^1$ *D* — βάλετ' $C^a$, βάλεν coni. Hecker — 75. ἀρέομαι coni. Dawes: αἱρέομαι *C*, αἰρέομαι *D* — 76. χάρις $C^{ac}$ — 77. δ' ἐρέων coni. Bothe: δ' ἐρέω τὰν *C D*, δ' ἐρέω *E*, δὲ κλέων in proecdosi scripseram — 78. μήδειοι *E F*: μῆδοι *C D* — 79. παρὰ Tricl.: πὰρ *C D* — ἔνυδρον *C*, εὔυδρον $C^2$ — τελέσαις $C^1$ $D^{ac}$, τελέσσας $D^{pc}$ $C^2$, τελέσαιν Bergk (cf. N. VIII 88) — 82. μεῖον *C* — 83. αἰανὴς *C* $D^1$: αἰανὸς $D^2$ — ἐλπίδας]

*ἀστῶν δ᾽ ἀκοὰ κρύφιον θυμὸν βαρύ-*
*νει μάλιστ᾽ ἐσλοῖσιν ἐπ᾽ ἀλλοτρίοις.*
*ἀλλ᾽ ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,*
*μὴ παρίει καλά. νώ-*
*μα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευ-*
*δεῖ δὲ πρὸς ἄκμονι χάλ-κευε γλῶσσαν.*

*᾽Αντ. ε᾽.*

*εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται*
*παρ σέθεν. πολλῶν ταμίας*
*ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.*
*εὐανθεῖ δ᾽ ἐν ὀργᾷ παρμένων,*
*εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-*
*εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·*
*ἐξίει δ᾽ ὥσπερ κυβερνάτας ἀνὴρ*
*ἱστίον ἀνεμόεν.*
*μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρ-*
*δεσσ᾽· ὀπιθόμβροτον αὔ-χημα δόξας*

*οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει* *᾽Επ. ε᾽.*
*καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων*
*ἀρετά·*
*τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νη- λέα νόον*
*ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,*

---

*ἀκάδις* v. l. in *X*, unde *ἀπίδας* Pauw — 84. *ἐσλ.* *E*: *ἐσθλ.* *CD* — 88. *ἀμφοτέροις* Mosch.: *ἀμφοτέροισι* *CD* — 89. *παραμ.* *D*[ac] — 91. *ὥσπερ* *C*: *ὥστε* *D* — 92. *ἀνεμόεν πετάσαις* (vel — *σας*) codd. vett., *ἀμπετάσαις* Tricl., *πετάσαις* eiec. ed. Rom. — *ὦ φίλος εὐτραπέλοις κέρδεσσ᾽* coni. Hermann: *ὦ φίλε κέρδεσιν ἐντραπέλοις* (*εὐτρ.* ex corr. man. rec.) *CD*, *ὦ φίλ᾽ ἐντρ. κέρδεσσ᾽* coni. Bergk, *ὦ φίλε κέρδεσιν εὐτράπλοις* coni. Buecheler — 93. *οἷον* *D*[2]: *οἶον* *CD*[1] — 96. *παντᾶ* C D —

*οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν*
*μαλθακὰν παίδων ὀάροισι δέκονται.*
*τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων·*
*εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ*
*ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ,*
*στέφανον ὕψιστον δέδεκται.*

---

97. *ὑπωρώφιαι* C — 98. *δέκονται* Boeckh: *δέχονται* codd.

[ΠΥΘΙΟΝ. Β′.]

# ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

## ΑΡΜΑΤΙ

**ludis Thebanis ca. 475 a. Ch.**

---

### Strophae.



### Epodi.



*Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου* Στρ. α'.
*τέμενος Ἄρεος, ἀνδρῶν*
*ἵππων τε σιδαροχαρμᾶν*
*δαιμόνιαι τροφοί,*
*ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θη-βᾶν φερων*
*μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,*
*εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων*
*τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,*
*ποταμίας ἕδος Ἀρ-*
*τέμιδος, ἇς - οὐκ ἄτερ*
*κείνας ἀγαναῖσιν ἐν*
*χερσὶ ποικιλανίους ἐδάμασσε πώλους.*

*ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ* Ἀντ. α'.
*ὅ τ' ἐναγώνιος Ἑρμᾶς*
*αἰγλᾶεντα τίθησι κόσμον,*
*ξεστὸν ὅταν δίφρον*
*ἔν θ' ἅρματα πεισιχάλινα κατα- ζευγνύῃ*
*σθένος ἵππειον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.*
*ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ*
*εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.*
*κελαδέοντι μὲν ἀμ-*
*φὶ Κινύραν - πολλάκις*
*φᾶμαι Κυπρίων, τὸν ὁ*
*χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων,*

---

1. *συράκουσ.* C, *συράκοσσ.* D — *βαθυπτ.* D, *βαρυπολέμου* coni. Hecker — 2. *ἴπων* D — 7. *ἇς* coni. Hermann: *τᾶς* codd. — 8. *χερσὶ* om. $C^1$ — 10. *Ἑρμῆς* $C^{ac}$ — *αἰγλάντα* C D — 11. *τ' ἅρμ.* $C^1$ D — 13. *ἐτέλεσεν* C D — 14. *εὐαυχέα* D — 15. *κινύραν* E: *κιννύραν* C D — 16. *χρυσοχαίτας* C D, corr. *Mosch.* —

ἱερέα κτίλον Ἀφροδί- Ἐπ. α'.
τας· ἄγει δὲ χάρις φίλων
ποίνιμος ἀντὶ Ϝέρ- γων ὀπιζομένα·
σὲ δ', ὦ Δεινομένειε παῖ, - Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει,
πολεμίων καμάτων - ἐξ ἀμαχάνων
διὰ τεὰν δύναμιν δρακεῖσ' - ἀσφαλές.
θεῶν δ' ἐφετ-μαῖς Ἰξίονα φαντὶ ταῦ-τα βροτοῖς
λέγειν ἐν πτερόεν-τι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
ἐποιχομένους τίνεσθαι.

Στρ. β'.
ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον,
μακρὸν οὐχ ὑπέμεινεν ὄλβον,
μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐ-ναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀυάταν ὑπεράφανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ' ἀμπλακίαι
φερέπονοι τελέθον-
τι· τὸ μὲν ἥ-ρως ὅτι
ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς·

---

17. ποίνιμος coni. Spiegel: ποίτινος *C D* — ὀπαζομένα coni. M. Schmidt — 23. παντᾶ *C D* — 24. ἀμοιβαῖσι *D* — 28. πολυγαθέος $D^{pc}$ *E* — ἄταν $C^{ac}$ — ὑπερφίαλον *C* — 30. ἕλε Mosch.: ἔσχε *C D*, ἔχε *M* — 31. ὅτι τ' *C D E*, τ' eiec. Hermann —

ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις 'Αντ. β'.
Διὸς ἄκοιτιν ἐπει-
ρᾶτο. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ
παντὸς ὁρᾶν μέτρον.
εὐναὶ δὲ παράτροποι ἐς κακότατ' - ἀθρόαν
ἔβαλον ποτὶ κοῖτον ἰόντ', ἐπεὶ νεφέλᾳ παρελέξατο,
ψεῦδος γλυκὺ μεθέπων, ἄιδρις ἀνήρ·
εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιδᾶν,
θυγατέρι Κρόνου· ἅν-
τε δόλον αὐ-τῷ θέσαν
Ζηνὸς παλάμαι, καλὸν
πῆμα. τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,

ἑὸν ὄλεθρον ὅγ'· ἐν δ' ἀφύ- 'Επ. β'.
κτοισι γυιοπέδαις πεσὼν
τὰν πολύκοινον ἀν- δείξατ' ἀγγελίαν.
ἄνευ Ϝοι Χαρίτων τέκεν - γόνον ὑπερφίαλον,
μόνα καὶ μόνον, οὔτ' ἐν ἀν-
δράσι γερασφόρον οὔτ' - ἐν θεῶν νόμοις·
τὸν ὀνύμαξε τράφοισα Κέν-ταυρον, ὃς
ἵπποισι Μαγ-νητίδεσσιν ἐμίγνυτ' ἐν - Παλίου
σφυροῖς, ἐκ δ' ἐγένον-το στρατὸς

---

34. κατ' αὐτὸν em. Thiersch: καθ' αὐτὸν $C^{ac}$, καθ' αὐτὸν $C^{pc}$ *D* — 35. ἀθρόαν: ὀρθάν v. l. schol. — 36. ποτὶ κοῖτον ἰόντ' coni. Boeckh, cui praeivit ex parte Jacobs: ποτὶ (ποτὲ $C^s$) καὶ τὸν ἵκοντ' codd.; ποτε καὶ τὸν ἑλόντ' Schneidewin, ποτε καὶ τόν· ἑκών Fraccaroli — 38. Οὐρανιδᾶν Bergk: Οὐρανιᾶν codd., Οὐρανίδα ex schol. Mommsen — 39. ἅντε *E*: τάν τε *C*, ἄν ποτε *D* — 41. ἐν ἀφ. (omisso δ') *D* — γυιοπέδαισι *C* — πετὼν requiro cum Herwerdeno — ἀνδείξ. coni. Mitscherlich: ἀνεδέξ. codd. vett., ἀνδέξ. Mosch. — 43. ἀνδράσι *D E*: ἀνθρώποισι *C* — 44. ὀνύμαξε *C* — τραφοῖσα Mosch. —

*θαυμαστός, ἀμφοτέροις*
*ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν*
*κάτω, τὰ δ' ὕπερθε πατρός.*

*θεὸς ἅπαν ἐπὶ Ϝελπίδεσσι τέκμαρ ἀνύεται,* *Στρ. γ'.*
*θεός, ὃ καὶ πτερόεντ'*
*αἰετὸν κίχε, καὶ θαλασσαῖ-*
*ον παραμείβεται*
*δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμ-ψε βροτῶν,*
*ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρεὼν*
*φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.*
*εἶδον γὰρ ἑκὰς ἐὼν ταπόλλ' ἐν ἀμαχανίᾳ*
*ψογερὸν Ἀρχίλοχον,*
*βαρυλόγοις - ἔχθεσιν*
*πιαινόμενον· τὸ πλου-*
*τεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον.*

*Ἀντ. γ'.*
*τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,*
*πρύτανι κύριε πολλᾶν*
*μὲν εὐστεφάνων ἀγυιᾶν*
*καὶ στρατοῦ. εἰ δέ τις*
*ἤδη κτεάτεσσί τε καὶ περὶ τι-μᾷ λέγει*
*ἕτερόν τίν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρ-*
*τερον,*
*χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.*

---

49. *τέκμωρ C* — 50. *καὶ* om. *D* — 53. *κακαγορίαν* Schmid — 54. *ἐν μαχ. D* — 55. *βαρυλόγοις Byz.*: *βαρυλόγοισιν C D* — 56. *πότμου σοφίας τ'* coni. Bergk — 57. *πεπαρεῖν BCDE*: *πεπορεῖν* Mosch. — 59. *κτεάνοισι C* — 61. *χαύνᾳ . . . κενεά* ex scholiis Pauw: *χαῦνα* (*χαύνᾳ B*) ... *κενεᾶ* (*κενειᾶ D*) codd. —

*εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ*
*κελαδέων. νεότα-*
*τι μὲν ἀρή-γει θράσος*
*δεινῶν πολέμων· ὅθεν*
*φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,*

*τὰ μὲν ἐν ἱπποσόαισιν ἄν-* *'Επ. γ'.*
*δρεσσι μαρνάμενον, τὰ δ' ἐν*
*πεζομάχαισι· βου-λαὶ δὲ πρεσβύτεραι*
*ἀκίνδυνον ἐμοὶ ϝέπος - σὲ ποτὶ πάντα λόγον*
*ἐπαινεῖν παρέχοντι. χαῖ-*
*ρε. τόδε μὲν κατὰ Φοί-νισσαν ἐμπολὰν*
*μέλος ὑπὲρ πολιᾶς ἁλὸς - πέμπεται·*
*τὸ Καστόρει-ον δ' ἐν Αἰολίδεσσι χορ-δαῖς θέλων*
*ἄθρησον χάριν ἐπ- τακτύπου*
*φόρμιγγος ἀντόμενος.*
*γένοι' οἷος ἐσσὶ μαθών. καλός τοι*
*πίθων παρὰ παισίν, αἰεὶ*

*Στρ. δ'.*
*καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν*
*ἔλαχε καρπὸν ἀμώ-*
*μητον, οὐδ' ἀπάταισι θυμὸν*
*τέρπεται ἔνδοθεν,*
*οἷα ψιθύρων παλάμαις ἕπετ' αἰ-εὶ βροτῶν.*

---

65. *ἄνδρεσσι* coni. Hermann: *ἀνδράσι BCD* — *πεζομάχοισι C* — 66. *σὲ ποτὶ πάντα* ex scholiis Bergk: *ποτὶ πάντα* (omisso *σε*) *ABCD*, *ποτὶ ἅπαντα* Tricl., *ποτὶ σὲ πάντα* Boeckh — 68. *πέμπεται τὸ Καστόρειον, σὺν δ' Αἰολ.* Hartung — 69. *θέλων* codd.: *ἑκὼν* Boeckh, quod paraphrasis exhibet — 71. *ἀντόμενος D* — 72. *γένοι' οἷος* Tricl.: *γένοι δ' οἷος B*, *γένοιο δ' οἷος CD*, *γενοῦ δ' οἷος* Mingarelli — 74. *ἀμωμήτων* coni. Jacobs — 75. *βροτῷ* coni. Heindorf —

*ἄμαχον κακὸν ἀμφοτέροις διᾱβολιᾶν ὑποφάτιες,*
*ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.*
*κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;*
*ἅτε γὰρ εἰνάλιον*
*πόνον ἐχοί-σας βαθὺ*
*σκευᾶς ἑτέρας, ἀβάπ-*
*τιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.*

*Ἀντ. δ'.*

*ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς*
*δόλιον ἀστόν· ὅμως μὰν*
*σαίνων ποτὶ πάντας, ἀγὰν*
*πάγχυ διαπλέκει.*
*οὔ ϝοι μετέχω θράσεος. φίλον εἴ-η φιλεῖν·*
*ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύ-*
*σομαι,*
*ἀλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.*
*ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,*
*παρὰ τυραννίδι, χώ-*
*πόταν ὁ λάβ-ρος στρατός,*
*χὤταν πόλιν οἱ σοφοὶ*
*τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,*

---

76. *διαβολιᾶν* codd.: *διαιβολιᾶν* Bergk — *ὑποφάτιες* *BCD*: *ὑποφαύτιες* Boeckh probabiliter, *ὑποφάτορες* ex scholiis coni. Bothe — 78. *κερδοῖ* coni. Huschke: *κέρδει* codd. — *τί τοῦτο μάλα* *C* — *τελέθει*: *τί δή οἱ* *B* — 79. *ἐναλ.* *BCD*; cf. O. IX 99 — *ἐχοίσας* *CD*: *ὀχοίσας* *B*, *ὀχεοίσας* coni. Ahlwardt — *βάθει* coni. Hartung, *βαθὺν* Bergk — 80. *εἶμι* praeferunt Bergk[3] et Schnitzer de Pind. emend. 32 — 81. *ἀδύνατον δ'* *D* — 82. *ἀγὰν* Boeckh: *ἄγαν* codd., *ἅταν* Heyne — *διάπλεκε* v. l. schol. recent. — 84. *ἰὼν* Huschke — 87. *λαῦρος* *BD* — 88. *τηρέοντι* BC —

ὃς ἀνέχει τοτὲ μὲν τὰ κεί- 'Επ. δ'.
νων, τότ' αὖθ' ἑτέροις ἔδω-
κεν μέγα κῦδος. ἀλλ' - οὐδὲ ταῦτα νόον
ἰαίνει φθονερῶν· στάθμας - δέ τινος ἑλκόμενοι
περισσᾶς ἐνέπαξαν ἕλ-
κος ὀδυναρὸν ἑᾷ - πρόσθε καρδίᾳ,
πρὶν ὅσα φροντίδι μητίον-ται τυχεῖν.
φέρειν δ' ἐλαφ-
ρῶς ἐπαυχένιον λαβόν-τα ζυγὸν
ἀρήγει· ποτὶ κέν-τρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος. ἁδόντα δ' εἴη
με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

---

89. *ἀνέχῃ D* — *τοτὲ BC*: *ποτὲ D* — *τότ' αὖθ'* Tricl.: *τοτὲ δ' αὖθ' BCD* — 90. *τινας* $C^{i}$ — *ἑλκόμενοι . . . ἐνέπαξαν D* $C^{pc}$: *ἑλκόμενος . . . ἐνέπαξεν B* $C^{ac}$ — 92. *μητίωνται* coni. Thiersch — 95. *λακτισδέμεν C.*

## ΠΥΘΙΟΝ. Γ'.

# ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ

**Pyth. 26 et 27 = 486 (482) et 482 (478) a. Ch.**

---

### Strophae.

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏓ |
– –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏑⏑ –́, | – –́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ | – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – |

### Epodi.

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ – –, –́ ⏑ ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ – – –́ ⏑ – ⏓ |
⏑⏑ – ⏑⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏓ |

*Ἤθελον Χείρωνά κε Φιλυρίδαν,* Στρ. α'
*εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ϝέπος,*
*ζώειν τὸν ἀποιχόμενον,*
*Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου,*
*βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον,*
*νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ*
*τέκτονα νωδυνίας*
*ἅμερον γυιαρκέος Ἀσκλαπιόν,*
*ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.*

*τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ,* Ἀντ. α'.
*πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις*
*τόξοισιν ὕπ' Ἀρτέμιδος*
*ἐν θαλάμῳ, δόμον εἰς Ἀίδα κατέβα*
*τέχναις Ἀπόλλωνος. χόλος δ' οὐκ ἀλίθιος*
*γίνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν*
*ἀμπλακίαισι φρενῶν,*
*ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,*
*πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ.*

*καὶ φέροισα σπέρμα θεοῦ καθαρόν,* Ἐπ. α'.
*οὐκ' ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,*

---

1. *Φιλλ.* *B C* $D^{pc}$ — 4. *εὐρυμέδοντος* *C* — *βάσεσι* *C* — 5. *νοῦν* Tricl.: *νόον* *B C D* — 6. *τέκτον'* (*τέκνον* *B*) *ἀνωδ.* *B C D* — *γυιαρκέος* codd.: *νωδυνιᾶν ... γυιαρκέων* coni. Hermann — 7. *ἀλεκτ.* *B* — 8. *φλεγυία* *B C* — 9. *εἰλειθ.* *C* — 11. *εἰς ἀίδαο* (*ἀίδα* *Byz.*) *δόμον ἐν θαλάμῳ* codd., transpos. Oelschlaeger — 14. *ἀκειρεκ.* *B C*: *ἀκερσεκ.* *D*; cf. I. I 7 — 15. cum praecedente versu coniunxit et post *καθαρόν* punctum posuit Heyne — 16. *οὐκ*: *οὐδ'* coni. Hermann et Boeckh; equidem satis esse duxi post *Φοίβῳ* interpungere — *νυμφίαν* coni. Schmid: *νυμφιδίαν*

*οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες*
*οἷα παρθένοι φιλέοισιν ἑταῖραι*
*ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι*
*ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.*
*ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,*
*ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,*
*μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.*

*ἔσχε τοιαύταν μεγάλαν ἀυάταν* *Στρ. β'.*
*καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένου*
*λέκτροισιν ἀπ' Ἀρκαδίας.*
*οὐδ' ἔλαθε σκοπόν· ἐν δ' ἄρα μηλοδόκῳ*
*Πυθῶνι τόσσαις ἄιεν ναοῦ βασιλεὺς*
*Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών,*
*πάντα Ϝίσαντι νόῳ·*
*ψευδέων δ' οὐχ ἅπτεται· κλέπτει τέ νιν*
*οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.*

*καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα* *Ἀντ. β'.*
*ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασιγνήταν μένει*
*θύοισαν ἀμαιμακέτῳ*
*ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος*
*κρημνοῖσιν ᾤκει παρθένος. δαίμων δ' ἕτερος*
*ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων*

---

*B C D* — 24. *τοιαύταν I M*: *τοι ταύταν B* $C^{po}$ *D*, *τοιαύτης* $C^{ac}$ — 27. *μηλοδ. B* $C^{po}$: *μαδοδ.* $D^1$, *μηδοδ* $C^{ac}$ $D^2$ — 28. *γνώμα* $CD^1$, *γνώμᾳ* Boeckh — *πιθών* coni. Schmid: *πεπιθών* BCD — 32. *ξειν. Byz.*: *ξεν. B C D* — 34. μοιβιάδος B —

πολλοὶ ἐπαῦρον, ἀμᾶ δ'
ἔφθαρεν, πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν.

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ — 'Επ. β'.
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν
λάβρον Ἁφαίστου, τότ' ἔειπεν Ἀπόλλων· Οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε· καιομένα δ' αὐτῷ διέφανε πυρά·
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων — Στρ. γ'.
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλλοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πί-
νοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

ἀλλὰ κέρδει καὶ σοφία δέδεται, — 'Αντ. γ'.

---

36. δ' *B D*: γ' *C*, τε schol. — πολλὰν δ' ἐν *B C D*, ἐν eiec. Mosch. — 39. δ' om. *D* — 41. ὀλέσθαι coni. Schmid — 43. πρώτῳ] τριτάτῳ coni. Aristarchus, τέρτῳ coni. Bergk — 44. διέφανε *D C*[2]: διέφαινε (-νεν *B*) *B C*[1], διέχαινε Schmid scholiorum glossam διεσχίσθη secutus — 48. συναόνες *B*, ξυνάοντες *C*[1] — 52. περάπτων *C*: περιάπτων *B D* —

*ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανείς,*
*ἄνδρ᾽ ἐκ θανάτου κομίσαι*
*ἤδη ἁλωκότα· χερσὶ δ᾽ ἄρα Κρονίων*
*ῥίψαις δι᾽ ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν*
*ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.*
*χρὴ τὰ ϝεοικότα παρ*
*δαιμόνων μαστευέμεν θναταῖς φρασίν,*
*γνόντα τὸ παρ ποδός, οἵας εἰμὲν αἴσας.*

*μή, φίλα ψυχά, βίον ἀθάνατον* 'Επ. γ'.
*σπεῦδε, τὰν δ᾽ ἔμπρακτον ἄντλει μαχανάν.*
*εἰ δὲ σώφρων ἄντρον ἔναι᾽ ἔτι Χείρων, καί τί ϝοι*
*φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι*
*ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον*
*καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων*
*ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.*
*καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν*
*Ἀρέθουσαν ἐπὶ κράναν παρ᾽ Αἰτναῖον ξένον,*

*ὃς Συρακόσσαισι νέμει βασιλεὺς* Στρ. δ'.
*πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.*
*τῷ μὲν διδύμας χάριτας*
*εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν*
*κῶμόν τ᾽ ἀέθλων Πυθίων αἴγλαν στεφάνοις,*

---

57. *ἁλ.* Schmid: *ἑαλ.* codd., *ὀλωλότα* coni. Naber — *δι᾽*] *δ᾽ C* — 58. *ἐνέσκηψεν B* — 60. *γνόντας C* — *εἰμὲν* $C^1 D^{ac}$: *ἐμὲν* $D^{pc}$, *ἦμεν* $C^2$, *ἐμὲν B*; *ἐμμὲν* an *εἶμεν* poeta dixerit, incertum est — 64. *ἐν* om. *BCD*, habent codd. recc. — 67. *πατέρα* coni. Bergk — 70. *συρακοσσ. B*: *συρακοσ. D*, *συρακουσ. C* — 71. *δὲ BC*: *τε D* —

τοὺς ἀριστεύων Φερένικος ἕλ' ἐν Κίρρᾳ ποτέ,
ἀστέρος οὐρανίου,
  φαμί, τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.

ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω 'Αντ. δ'.
Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ
  μέλπονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν κορυφάν, 'Ιέρων,
  ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι· τὰ μὲν ὦν
  οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται. 'Επ. δ'.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος· αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄιον Θήβαις, ὁπόθ' 'Αρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

---

74. ἕλ' ἐν Pauw: ἕλεν *B D*, ἕλε *C* — 76. πόντον *B D*: πόρον *C* — 78. μέλποντι *C* — 79. θεᾶν vel θεῶν $C^{ac}$ — 80. ἐπίστασαι, μαθὼν coni. Naber — 81. δαίονται *B C D*: δέοντι schol. ad O. I 97 unde δαίοντι Mommsen — 85. τοι om. $C^{1}$ — 86. σ' ὁ μέγας coni. Bergk — 87. ἔγεντ' $B^{pc}$ *D*, ἔγεντο $B^{ac}$, ἐγένετ' *C* — 88. λέγονταί γε μὰν *B C D*, γε eiec. Mosch. —

*καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις,* Στρ. ε'.
*καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις,*
*ἕδνα τε*
*δέξαντο· Διὸς δὲ χάριν*
*ἐκ προτέρων μεταμειψάμενοι καμάτων*
*ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ*
*τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις*
*εὐφροσύνας μέρος αἱ*
*τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ*
*ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.*

*τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα* Ἀντ. ε'.
*τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν*
*λιπὼν*
*ὦρσεν πυρὶ καιόμενος*
*ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει*
*θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων*
*τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ*
*ὑψιπετᾶν ἀνέμων.*
*ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται*
*σῶς, πολὺς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.*

*σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις* Ἐπ. ε'.
*ἔσσομαι· τὸν ἀμφέποντ' αἰεὶ φρασὶν*
*δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.*
*εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,*

---

98. *γε* om. *D*, *γ' αὖ* Hermann — 99. *ἦλθεν C* — 100. *ἀθάνατος E* — 101. *λιπών*: *βαλών* coni. Hecker coll. O. VIII 39, *δικών* Herwerden — 102. *ὦρσεν ἐν πυρὶ B D* — 105. *ὄλβος δ' B C D*, *δ'* eiec. Tricl. — 106. *σῶς* coni. Emperius: *ὃς* codd.; *πάμπολυς* coni. Dissen. — *ἐβρίσας* $C^{ac}$ — 110. *πλοῦτον*: *πότμον* coni. Hartung —

*ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.*
*Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις,*
*ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ*
*ἅρμοσαν, γινώσκομεν. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς*
*χρονία τελέθει, παύροις δὲ πράξασθ' εὐμαρές.*

---

111. *κεν*: *καὶ* $C^1$ — 112. *σαρπηδ*. codd., *σαρπαδ*. in lapide Farnesiano exstare animadvertit Ahrens d. gr. ling. dial. II 144 — 113. *κελαδεν*. *C* ex *κελαδειν*. corr. — 114. *γινώσκομεν. ἁ δ' ἀρ*. Schmid: *γινωσκομένα δ' ἀρ*. codd.

ΠΥΘΙΟΝ. Δ'.

# ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ

## ΑΡΜΑΤΙ

**Pyth. 31 = 466 (462) a. Ch.**

---

### Strophae.

–̈ ⏑ – – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – | – –̈ ⏑ – – –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̈ ⏖ – ⏖ – | – –̈ ⏑ – – –̇ ⏑ – . ⏓
–̈ ⏖ – ⏖ –̇ | ⏖ – ⏓ –̈ ⏑ – ⏓ |
–̈ ⏖ – ⏖ – | – –̈ ⏑ – ⏓ –̇ ⏑ ⏓ |
–̈ ⏑ – – –̇ ⏑ – – | –̈ ⏖ – ⏖ –̇ ⏖ ⏓ |
–̈ ⏑ – – –̇ ⏑ – | – –̈ ⏑ – –̇ ⏑ ⏓ |
⏖̈ ⏑ – ⏓ –̇ ⏑ – – |

### Epodi.

–̈ ⏑ – – –̈ ⏖ – ⏖ – | – –̈ ⏑ – – –̇ ⏑ ⏓ |
–̈ ⏖ – ⏖ – | – –̈ ⏑ – ⏓ –̈ ⏖ – ⏖ ⏓ |
–̈ ⏑ – – –̇ ⏑ – – | –̈ ⏖ – ⏖ ⏓
–̈ ⏖ – | – –̇ ⏑ – – –̈ ⏑ – | – –̈ ⏖ – ⏖ ⏓ |
– –̈ ⏖ – ⏖ –̇ ⏖ – | – –̈ ⏑ – ⏓
–̈ ⏑ – | – –̇ ⏑ – ⏓ –̇ ⏖ ⏓ |
–̈ ⏑ – ⏓ –̈ ⏖ – ⏖ – | –̇ ⏑ – – –̇ ⏑ – ⏓ \

*Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ* *Στρ. α'.*
*σταμεν, εὐίππου βασιλῆι Κυράνας, ὄφρα κωμάζοντι*
*σὺν Ἀρκεσίλᾳ,*
*Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς*
*οὖρον ὕμνων,*
*ἔνθα ποτὲ χρυσέων Διὸς αἰητῶν πάρεδρος*
*οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα*
*χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν*
*νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐ-άρματον*
*πόλιν ἐν ἀργινόεντι μαστῷ,*

*καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι* *Ἀντ. α'.*
*ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον, Αἰήτα τό ποτε*
*ζαμενὴς*
*παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα Κόλχων.*
*εἶπε δ' οὕτως*
*ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·*
*Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·*
*φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου ποτὲ γᾶς Ἐπάφοιο κόραν*
*ἀστέων ῥίζαν φυτεύσεσθαι μελη- σίμβροτον*
*Διὸς ἐν Ἄμμωνος θεμέθλοις.*

*Ἐπ. α'.*
*ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες*
*θοάς,*

---

3. *αὔξαις C* — 4. *αἰητῶν* Mosch.: *αἰετῶν* (*ἀετ. D*) *B C D*; *ἀετῶν Ζηνὸς* Tricl. — 5. *ἱέρεα BCD*, *ἱέρεια* Steph., *ἱρέα* coni. Boeckh, *Πυθία* Ahlwardt — 7. *κτίσειεν* (*κτησ. D*) *BCD* — 8. *ἀργάεντι* coni. Hermann — 9. *ἀγκομίσαι* scholia: *ἀγκομίσαιθ'* (*ἐγκ. C*) *B C D*; cf. P. IV 179 — 10. *ἑβδόμᾳ σὺν καὶ δεκ.* Herwerden — 14. *ἁλιπλάκτου B*: *ἁλιπλέγκτου C*, *ἁλιπλάτου D* — 15. *μελισόμβ. C* — 16. om. $B^1$ — *ἐν* om. *D* — 17. fort. *ἐλαφροπτερύγων* —

*ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλό-*
*ποδας.*
*κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων*
*ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν*
*προχοαῖς*
*λίμνας θεῷ ἀνέρι Ϝειδομένῳ γαῖαν διδόντι*
*ξείνια πρῴραθεν Εὔφαμος καταβὰς*
*δέξατ'· αἴσιον δ' ἐπί Ϝοι Κρονίων*
*Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·*

*ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν* *Στρ. β'.*
*ναῖ κρημνάντων ἐπέτοσσε, θοᾶς Ἀργοῦς χαλινόν. δώ-*
*δεκα δὲ πρότερον*
*ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων*
*εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.*
*τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν*
*ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ' ἐπέων*
*ἄρχετο, ξείνοις ἅτ' ἐλθόντεσσιν εὐ-εργέται*
*ξένι' ἐπαγγέλλοντι πρῶτον.*

*ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ* *Ἀντ. β'.*
*κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς*
*ἀφθίτου Ἐννοσίδα*
*ἔμμεναι· γίνωσκε δ' ἐπειγομένους· ἀν δ' εὐθὺς ἁρπάξαις*
*ἀρούρας*

---

18. *νωμάσσ.* *C* — 20. *τήν* *B* — 22. *πρώρ.* codd. — 23. *δέξαιτ'* *D* — 24. *ἀγγύραν* $D^{ac}$ — 25. *κριμνάντων* *B* — *ἐπέτοσε* *C*, *ἔποσσε* $B^1$ *E* — 26. *ἐρήμων* *B C D*: *ἐρήμου* *E* et schol. — 27. *ἐναλ.* *B C D*; cf. O. IX 99 — *μήδεσσιν* *B D* — *ἀνσπάσαντες* (*ἀνασπ.* *D*) *B C D* — *ὠμοῖς* *C* — 29. *πρόσοψιν* (*πρόσωψ.* *C*) codd.: *περ' ὄψιν* Bergk — 30. *ἄρχεται* *C D* — *ξεν.* *C D* — 31. *ξένι'* coni. Bergk: *δεῖπν'* *B C* et schol., *δεῖπνον* *D*, *δέπας* Mommsen — *ἐπαγγέλοντι* *C D* — 34. *γιγν.* *B D* — *ἄν τ'* mavult Bergk —

*δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.*
*οὐδ' ἀπίθησέν ἱν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν*
*χειρί ϝοι χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμονίαν.*
*πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ - δούρατος*
*ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ*

*'Επ. β'.*

*ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυνον θαμὰ*
*λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·*
*καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας*
*εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴκοι νιν βάλε παρ χθόνιον*
*"Αιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,*
*υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,*
*τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ*
*τίκτε Καφισοῦ παρ' ὄχθαις,*

*τετράτων παίδων κ' ἐπιγεινομένων* *Στρ. γ'.*
*αἷμά ϝοι κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας*
*ἐξανίστανται Λακεδαίμονος 'Αργείου τε κόλπου καὶ Μυκηνᾶν.*

---

35. *προτυχὸν* $B^{s}$ $C^{pc}$ *D*: *προτυχὼν* $B^{1}$ $C^{ac}$, *παρατυχὸν* Chaeris in schol. — *ξειν.* *B C D* — 36. *ἀπίθησέ νιν* codd., *ἀπίθησέν ἱν* (*ϝιν* Heimer) Hermann, *ἀθέριξέ νιν* Mor. Schmidt — 39. *ἐναλίαν* coni. Thiersch: *ἐναλία* *B C D*, *ἐναλίᾳ* schol. — 40. *σπωμ.* *C*; fort. *πελάγει 'σπομέναν* — *ὀτρ.* *B C* — 41. *λυσιπόνοισι* *C* — 42. *ἀφθίτω* *D* — 43. *εὐρυχωρ.* *C D* — 45. *ποσειδάονος* *B* — 46. *Εὐρώπα*: *Εὐρώτα* schol. ad v. 15 — *τίκτει* *B D* — 49. *μηκυν.* *C D* —

νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν - δώματι
Φοῖβος ἀμνάσει θέμισσιν,

Πύθιον ναὸν καταβάντα χρόνῳ 'Αντ. γ'.
ὑστέρῳ, νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον
τέμενος Κρονίδα.
ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ
ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.
ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πε-πρωμένον
βασιλέ' ἄμφανεν Κυράνᾳ,

'Επ. γ'.
δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς
θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὦτε φοινικανθέμου ἦρος
ἀκμᾷ,
παισὶ τούτοις ὄγδοον θάλλει μέρος 'Αρκεσίλας·
τῷ μὲν 'Απόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων
ἔπορεν.

---

50. *μὲν Byz.*: *μὰν B C D* — 51. *λεχέεσσι C* — *τάνδε* ex *τάδε* corr. m. rec. *B* — 54. *ἀμμν. B D* — *θέμισιν D* — 55. *χρόνῳ δ' ὑστέρῳ B C D* et schol., *δ'* del. Schmid, *χρόνῳ δευτέρῳ* coni. M. Schmidt — 56. *ἀγαγεῖν C* et schol.: *ἄγαγε BD*, *ἀγαγὲν E* e corr. — 57. *αἶ ῥα* Boeckh in pr. ed. — 61. *εἰς τρὶς BCD* — *αὐδάσαισαι B* — 62. *κυράνα CD* et schol.: *κυράνας B* — 64. *ὦτε* Bergk: *ὥστε B*, om. *CD* — *ἦρος ἀκμᾷ C*: *ἦρος ἐν ἀκμᾷ B D* — 65. *τούτοις*: *οὕτως* coni. Emperius, fort. *τούτοι'* — *μέλος C*[2], *γένος* coni. Herwerden — 66. ἀμφικτυ codd. —

*ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω*
*καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ*
*κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-*
*ποί σφισιν τιμαὶ φύτευθεν.*

*τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;* Στρ. δ'.
*τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις;*
*θέσφατον ἦν Πελίαν*
*ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις.*
*ἦλθε δέ ϝοι κρυόεν πυκινῷ μάντευμα θυμῷ,*
*παρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·*
*τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,*
*εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐ- δείελον*
*χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,*

*ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἆρα χρόνῳ* Ἀντ. δ'.
*ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος· ἐσθὰς δ' ἀμφοτέρα νιν ἔχεν,*
*ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις,*
*ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·*
*οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί,*
*ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ' εὐθὺς ἰὼν σφετέρας*

---

70. *τίς σφ' ἄρ'* coni. Herwerden — *ἀρχὴ δέξατο* $B^{pc}$, *ἄρχ' ἐδέξ.* $B^{ac}$ *CD* — *ναυτιλλ.* *C* — 71. *ἄλλοις* *D* — 72. *ἀκάμπτοις* Hermann: *ἀκνάμπτοις* *B D*, *ἀκάμποις* *C* — 79. *ἀμφοτέρα* *E*, quocum conspirat scholium *ἐσθὴς δὲ διπλῆ συνεῖχεν αὐτόν*: *ἀμφότερον* *B C D* — 81. *παρδαλίᾳ* *G* ex corr., *παρδαλέα* *B C D* et schol. — 82. *ᾤχοντ'* Boeckh: *οἴχοντ'* *B C D* —

*ἑστάθη γνώμας ἀταρβάκτοιο πει-ρώμενος*
*ἐν ἀγορᾷ πλήθοντος ὄχλου.*

'Επ. δ'.

*τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν*
*καὶ τόδε·*
*Οὔ τί που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός*
*ἐστι πόσις*
*Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ*
*Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα*
*ϝάναξ.*
*καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,*
*ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,*
*ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-*
*των ἐπιψαύειν ἔραται.*

*τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι* Στρ. ε'.
*γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προ-*
*τροπάδαν Πελίας*
*ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον*
*πέδιλον*
*δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ*
*δεῖμα προσέννεπε· Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι*
*πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων*
*πολιᾶς*

---

84. *ἀταρβάκτοιο B C D*: *ἀταρβύκτοιο* lemma in *E*, *ἀταρμύκτοιο* coni. Hermann collato Bentleio ad Hor. C. I 3, 18 — 86. *οὐκ ἐγίν. B*, *οὐ γίγν. D* — 87. *οὔ τοι C* — 88. *λιπαρᾶς* $B^{ac}$ — 90. *τερπνὸν C* — 94. *ἐπὶ δὲ B* — 95. *παπτήνας* (*-ῄνας B*) *BCD* — 97. *προσένεπε B*, *προσήνεπε C*, *προσῄνεπε D* — *ξέν' B C D* — 98. *χαμαιγαίων D* — *πολιᾶς*: *ποτε ϝᾶς* coni. Herwerden —

*ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ - ψεύδεσιν*
*καταμιάναις εἰπὲ γένναν.*

*τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις* *'Αντ. ε'.*
*ὧδ' ἀμείφθη· Φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν· ἄν-*
*τροθε γὰρ νέομαι*
*παρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι*
*θρέψαν ἁγναί.*
*εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ϝέργον*
*οὔτ' ἔπος ἐκτράπελον κείνοισιν εἰπὼν ἱκόμαν*
*οἴκαδ', ἀρχὰν ἀγκομίζων πατρὸς ἐμοῦ, βασιλευομέναν*
*οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν - λαγέτᾳ*
*Αἰόλῳ καὶ παισὶ τιμάν.*

*'Επ. ε'.*
*πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα*
*φρασὶν*
*ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·*
*τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου*
*ἁγεμόνος δείσαντες ὕβριν, κᾶδος ὡσείτε φθιμένου*
*δνοφερὸν*
*ἐν δώμασι θηκάμενοι μίγα κωκυτῷ γυναικῶν,*
*κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,*
*νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ*
*δὲ τράφειν Χείρωνι δῶκαν.*

---

99. *ἐχθίστοις σε* coni. Mingarelli, *αἰσχίστοισι* coni. Hecker. — 103. *φιλλυρ.* *C* — 105. *ἐκτράπ.* coni. Heyne: *ἐντράπ.* *B C D*, utrumque schol. — *κείνοισιν*: *ξείνοισιν* coni. Wilamowitz, *κεί-ναισιν* Pauw. — 106. *ἀρχὰν ἀγκομ.* em. Chaeris: *ἀρχαίαν κομ.* (*καιν.* *B* $D^{s}$) codd. — 110. *ἁμετέρων* (*ἡμετέραν* $B^{s}$) . . *ἀρχεδικᾶν* codd. ex emendatione Chaeridis: *ἁμετέραν* . . *ἀρχεδίκαν* vetus lectio ante Chaeridem — *τοκήων* *B* — 113. *μίγα* *D* $C^{po}$ $E^{po}$: *μετὰ* *B*, *μέγα* $E^{ac}$ — 115. *τράφειν* coni. Hartung: *τράφεν*

*ἀλλὰ τούτων μὲν κεφάλαια λόγων* Στρ. ϛ'.
*ἴστε. λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται,*
*φράσσατέ μοι σαφέως·*
*Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξείναν μὲν ἵκω γαῖαν*
*ἄλλων.*
*Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσαύδα.*
*ὣς φάτο. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός.*
*ἐκ δ' ἄρ' αὐτῷ πομφόλυξαν δάκρυα γηραλέων γλε-*
*φάρων,*
*ἃν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξ-αίρετον*
*γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.*

*καὶ κασίγνητοί σφισιν ἀμφότεροι* Ἀντ. ϛ'.
*ἤλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν Φέρης κράναν*
*Ὑπερῆδα λιπών,*
*ἐκ δὲ Μεσσάνας Ἀμυθάν. ταχέως δ' Ἄδματος ἷκεν*
*καὶ Μέλαμπος*
*εὐμενέοντες ἀνεψιοί. ἐν δαιτὸς δὲ μοίρᾳ*
*μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,*
*ξείνι' ἁρμόζοντα τεύχων, πᾶσαν ἐυφροσύναν τάνυεν,*
*ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἕν - θ' ἁμέραις*
*ἱερὸν εὐζώας ἄωτον.*

---

(*τράφε* $C^{ac}$) *B C D* et schol. — 118. *μὲν ἵκω* scripsi: *ἰκόμαν* (*ἰκόμην B*) codd., *ἰκοίμαν* coni. Hermann, *οὐ μὰν ξεῖνος ἵκω* Bergk, *οὐ ξεῖνος ξέναν ἵκοιμ' ἂν αἶαν* Jurenka — 119. *προσηύδα* codd. — 120. *εἰσελθ. B C D* — *ἔγνων C D. ἐγν B* in perforata charta — 121. *αὐτῷ* coni. Bergk: *αὐτοῦ* codd. — 122. *περὶ*: *πέρι* Hermann — 124. *σφιν C D* — 126. *μεσαν. B C D* — *ἥκε̄ B* — *Μέλαμπος B C D E*: *Μελάμπους* $F^{pc}$ *R* fort recte — 127. *ἀνεψιοί R* et Hartung: *ἀνεψιόν* codd. rell. — 129. *τεύξων C* — *πᾶσαν ἐυφρ.* coni. Bergk: *πᾶσαν εὐφρ. B*, *πᾶσαν ἐς* (*εἰς C*) *εὐφρ. C D* — 130. *ἕν τ' ἀμ. C* —

'Επ. ς'.

ἀλλ' ἐν ἕκτᾳ πάντα λόγον θέμενος σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοινᾶθ'· οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλθον Πελία μέγαρον,
ἐσσύμενοι δ' εἴσω κατέσταν. τῶν δ' ἀκούσαις αὐτὸς ὑπαντίασεν
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ' Ἰάσων
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων·
 Παῖ Ποσειδᾶνος Πετραίου,

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι Στρ. ζ'.
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν ὅμως·
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ϝερέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχ-θρα πέλει
ὁμογόνοις, αἰδῶ καλύψαι.

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν 'Αντ. ζ'.

---

134. ἦλθε $C$ — 135. εἴσω Mosch.: ἔσω $BCD$; εἴσω an ἔσω poeta voluerit non liquet — 136. ἐλασ. $C^1$, ἐρασ. $C^2$ — 139. ἀνόποροι coni. Naber — 141. χρὴ om. $C^1$ — 144. ἄμμες $B^2$: ἀμὲς $B^1CD$, cf. O. IX 106 — 145. λεύσσομ. $BC$ — ἀμφίστ. $CD$, ἀφίσταιντ' corr. Chairis — 146. αἰδῶ: αἰδώς coni. Leop. Schmidt, αἰδοῖ Hermann — 147. χαλκοτόροισι (-τέροισι $BC$) $BCD$ — ξίφεσσι $B$ —

*οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δάσασθαι.*
*μῆλά τε γάρ τοι ἐγὼ*
*καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀγρούς τε πάντας,*
*τοὺς ἀπούραις*
*ἁμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·*
*κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν,*
*ἀλλὰ καὶ σκᾶπτον μόναρχον καὶ θρόνος, ᾧ ποτε*
*Κρηθεΐδας*
*ἐγκαθίζων ἱππόταις εὔθυνε λα-οῖς δίκας·*
*τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας*

*Ἐπ. ζ'.*

*λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀνασταίῃ*
*κακόν.*
*ὣς ἄρ' ἔειπεν. ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας·*
*Ἔσομαι*
*τοῖος. ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας*
*ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει· δύνασαι*
*δ' ἀφελεῖν*
*μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι*
*Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,*
*δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,*
*τῷ ποτ' ἐκ πόντου σαώθη*

*ἔκ τε ματρυιᾶς ἀθέων βελέων.* *Στρ. η'.*

---

148. *μεγάλων* $C^1$ — *προγόναν* *B* — 149. *οὓς* *B D* — *ἀπούρας* codd. — 150. *νέμεαι*] $C^{pc}$ *D*: *νύμες* *B*, *νέμεν* $C^{ac}$ — 152. *ποτ' ὁ* *D* — 153. *ἱππότας* $B^s$ — 155. *ἀναστήῃ* (*ἀναστήῃ* cum G. Curtio praefert Schroeder) coni. Hermann, *ἀναστήσῃς* $B^{ac}$ *C D* et v. l. schol., *ἀναστήσῃ* $B^{pc}$, *ἀνασταίη* v. l. schol., unde *ἀνασταίῃ* Ahrens — 156. *ἔσσομαι* *B C D* — 157. *τοῖος* Mosch.: *τοιοῦτος* *B C D E* — *γερ.* *D* — 161. *βαθύμαλον* *B D* — 162. *ἔκ τε*: *ἐκ τῶν* *B* — *βουλέων* *D* —

*ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φώνει. μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ,*
*εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύχειν ναΐ πομπάν.*
*τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν*
*καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς*
*ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.*
*σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ - μὲν κρίθεν.*
*ἀτὰρ Ἰάσων αὐτὸς ἤδη*

*ὤρνυεν κάρυκας ἐόντα πλόον* 'Αντ. η'.
*φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι*
*ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ δ' ὑψιχαῖται*
*ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,*
*ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου. τῶν μὲν κλέος*
*ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐρυβία.*
*ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοι-δᾶν πατὴρ*
*ἔμολεν, εὐαίνητος Ὀρφεύς.*

'Επ. η'.
*πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον,*

---

163. *φώνει* schol.: *φωνεῖ* codd. — 164. *μεταλλακτόν* mavult Bergk, hoc vel *κατάλλακτον* Herwerden — *με*: *σε* *B* — 165. *τέλεσσ.* *B C D* — 169. *αὐτὰρ* *B C* — 170. *ὤρνυεν* Boeckh: *ὄρνυεν* *B C D* — *κάρυκας τᾶς ἐόντα* $C^1$ — *ἐόντα* codd.: *ἐπόντα* coni. Jurenka, *ἑταισι* coni. Bergk; fort. *ἰόντὰ* — 172. *τ' ἑλ.* (*ἑλ.* *D*) *B D* — *ἑλικοβλεφάρων* *D* — *δυοὶ* *B* — 173. *αἰδεσθέντες* codd. et schol.: *ἀλδήσκοντες* Mor. Schmidt, *αἴν' ἐσθέντες* Jurenka, *ᾇ Ϝασθέντες ἀλκᾷ* Bergk — 176. *φορμιγκτ.* *C* — 178. *χρυσόρρ.*

τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέες
δ' ἀμφὶ Παγγαίου ϑεμέϑλοις ναιετάοντες ἔβαν·
καὶ γὰρ ἑκὼν ϑυμῷ γελανεῖ ϑᾶσσον ἔντυεν βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειϑῆ γλυκὺν ἡμιϑέοι-
σιν πόϑον ἔνδαιεν Ἥρα

ναὸς Ἀργοῦς, μή τινα λειπόμενον Στρ. ϑ'.
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ ϑανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσϑαι σὺν ἄλλοις.
ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά ϝοι
μάντις ὀρνίχεσσι καὶ κλάροισι ϑεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερϑεν,

χρυσέαν χείρεσσι λαβὼν φιάλαν Ἀντ. ϑ'.

---

*BCD* — 179. κεχλαδότας *D* — Ἔρυτον coni. Schmid: εὔρυτον *BCD* — ταχέες δ' *BCD*, ταχέως δ' *VE*[2] in lit., δ' eiec. Boeckh; cf. P. IV 9 — 180. ϑεμέϑλοις coni. Boeckh: ϑέμεϑλα *B*[2] *C*, om. *B*[1] *D* — 181. ἔντυνε *C*[1] *V*: ἔντυεν *B C*[2] *D* — 183. πεφρικότας *D* et lemma in *B* — 184. παμπληϑῆ *D* — πόϑον γ' Mosch., πόϑον τόνδ' αὖεν coni. Emperius — ἔνδαιεν *B* in lemm. *C*[2] *D*: ἔδαιεν *B C*[1], πρόσδαιεν Boeckh, δαίεσκεν Hermann — 185. ναοῦς *B* — 186. μητέρι *CD* — 187. ἱᾶς *B* — 188. δ' Ἰαωλκὸν coni. Schmid — κατέβαν *D* — 190. ϑεοπρεπ. *B* — 191. ἄμβαισε *B* — 193. φιάλαν: ἄγκυραν *B*[ac] —

*ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φώνει. μεμάντευ-*
*μαι δ' ἐπὶ Κασταλίᾳ,*
*εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύχειν ναῒ*
*πομπάν.*
*τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν*
*καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς*
*ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.*
*σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ - μὲν κρίθεν.*
*ἀτὰρ Ἰάσων αὐτὸς ἤδη*

*ὤρνυεν κάρυκας ἐόντα πλόον* Ἀντ. η'.
*φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς*
*ἀκαμαντομάχαι*
*ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ*
*δ' ὑψιχαῖται*
*ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,*
*ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου. τῶν μὲν*
*κλέος*
*ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐ-*
*ρυβία.*
*ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοι-δᾶν πατὴρ*
*ἔμολεν, εὐαίνητος Ὀρφεύς.*
Ἐπ. η'.
*πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυ-*
*τον πόνον,*

---

163. *φώνει* schol.: *φωνεῖ* codd. — 164. *μεταλλακτόν* mavult Bergk, hoc vel *κατάλλακτον* Herwerden — *με*: *σε* *B* — 165. *τέλεσσ.* *B C D* — 169. *αὐτὰρ* *B C* — 170. *ὤρνυεν* Boeckh: *ὄρνυεν* *B C D* — *κάρυκας τᾶς ἐόντα* $C^1$ — *ἐόντα* codd.: *ἐπόντα* coni. Jurenka, *ἔταισι* coni. Bergk; fort. *ἰόντα* — 172. *τ' ἑλ.* (*ἑλ.* *D*) *B D* — *ἑλικοβλεφάρων* *D* — *δυοὶ* *B* — 173. *αἰδεσθέντες* codd. et schol.: *ἀλδήσκοντες* Mor. Schmidt, *αἶν' ἑσθέντες* Jurenka, *ᾇ Ϝασθέντες ἀλκᾷ* Bergk — 176. *φορμιγκτ.* *C* — 178. *χρυσόρρ.*

*τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον.*
*ταχέες*
*δ' ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·*
*καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυεν βασιλεὺς*
*ἀνέμων*
*Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν*
*νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.*
*τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-*
*σιν πόθον ἔνδαιεν Ἥρα*

*ναὸς Ἀργοῦς, μή τινα λειπόμενον* Στρ. θ'.
*τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ',*
*ἀλλ' ἐπὶ καὶ θανάτῳ*
*φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν*
*ἄλλοις.*
*ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,*
*λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά ϝοι*
*μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς*
*Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ - δ' ἐμβόλου*
*κρέμασαν ἀγκύρας ὕπερθεν,*

*χρυσέαν χείρεσσι λαβὼν φιάλαν* Ἀντ. θ'.

---

*B C D* — 179. *κεχλαδότας D* — *Ἔρυτον* coni. Schmid: *εὔρυτον B C D* — *ταχέες δ' B C D*, *ταχέως δ' V E*[2] in lit., *δ'* eiec. Boeckh; cf. P. IV 9 — 180. *θεμέθλοις* coni. Boeckh: *θέμεθλα B*[2] *C*, om. *B*[1] *D* — 181. *ἔντυνε C*[1] *V*: *ἔντυεν B C*[2] *D* — 183. *πεφρικότας D* et lemma in *B* — 184. *παμπληθῆ D* — *πόθον γ'* Mosch., *πόθον τόνδ' αὖεν* coni. Emperius — *ἔνδαιεν B* in lemm. *C*[2] *D*: *ἔδαιεν B C*[1], *πρόσδαιεν* Boeckh, *δαίεσκεν* Hermann — 185. *ναοῦς B* — 186. *μητέρι C D* — 187. *ἰᾶς B* — 188. *δ' Ἰαωλκὸν* coni. Schmid — *κατέβαν D* — 190. *θεοπρεπ. B* — 191. *ἄμβαισε B* — 193. *φιάλαν*: *ἄγκυραν* B[ac] —

*ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγχεικέραυνον*
*Ζῆνα, καὶ ὠκυπόρους*
*κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει, νύκτας τε καὶ πόν-*
*του κελεύθους*
*ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·*
*ἐκ νεφέων δέ ϝοι ἀντάυσε βροντᾶς αἴσιον*
*φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορη-*
*γνύμεναι.*
*ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ - σάμασιν*
*πιθόμενοι· κάρυξε δ' αὐτοῖς*

*'Επ. θ'.*

*ἐμβαλεῖν κώπαισι τερασκόπος, ἁδείας ἐνίπτων ἐλπίδας.*
*εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.*
*σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι*
*ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἔσσαντ' εἰναλίου*
*τέμενος,*
*φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὑπᾶρχεν*
*καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.*
*ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι*
*δεσπόταν λίσσοντο ναῶν,*

*συνδρόμων κινηθμὸν ἀμαιμάκετον* *Στρ. ι'.*
*ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζωαί, κυλινδέ-*
*σκοντό τε κραιπνότεραι*

---

195. *ἀνέμων P*: *ἀνέμους B C D E* — 197. *ἀντάνυσε* $C^1$ — 198. *ἀπορρ. B C* — 199. *ἄμπλοον* coni. Coraes — 200. *πιθ.* Mosch.: *πειθ. B C D E* — 202. *τραχειᾶν C* — 203. *ἀξειν. B E* et schol.: *εὐξείν. C D* — 204. *ποσειδᾶνος B* — *ἔσσαντ'*: fort. *ἔσσυντ'* vel potius *ἔσδυν* — *ἐναλ. B C D* — 206. *λίθων* Tricl.: *λίθινον B C D E*; *θέναρ βωμοῦ λίθινον* coni. Ahlwardt — 209. *δίδυμαι D*: *δίδυμοι B C* — *κραιπνὸν D* (accentus et *ν in lit.*) —

ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἤλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
μῖξαν Αἰήτᾳ τ' ἀγαυῷ. πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴυγγα τετράκναμον Οὐ-λυμπόθεν
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ,

μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν 'Αντ. ι'.
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ, ποθεινὰ δ' Ἑλ-λὰς αὐτὰν
ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωΐων·
σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοι-νὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μίξειν.

'Επ. ι'.
ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμψατο
καὶ βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιο-μένοιο πυρός,
χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' ἀμειβόμενοι·

---

211. δ': γ' *C*, quod ex τε ortum videtur — ἔπειτ' ἀνήλ. *B*, ἔπειτ' . . ἤλ. *D* (lit. inter τ et ἤ) — 213. τ' ἀγαυῷ coni. Herwerden: παρ' αὐτῷ codd., τ' ἀγαυρῷ coni. M. Schmidt — ὀξυτ. *C* et schol.: ὠκυτ. *B D* — 216. ἔρνιν *B* — 217. ἐδιδ. *B* — -νίδα *D* — 218. Μήδειαν coni. Beck — 220. πατρωΐων *Byz.*: πατρώων *B C D* — 223. ἐν om. *C* — μίξειν (μίξιν *D*) *B D E*: μίξαι *C* — 225. γενῦν coni. Dindorf, γνάθων Boeckh —

*τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος· ὀρθὰς δ' αὔ-*
*λακας ἐντανύσαις*
*ἤλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον*
*γᾶς. ἔειπεν δ' ὧδε· Τοῦτ' ἔργον βασιλεύς,*
*ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις*
*ἄφθιτον στρωμνὰν ἀγέσθω,*

*κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.* Στρ. ιαʹ.
*ὣς ἄρ' αὐδάσαντος ἀπὸ κροκόεν ῥίψαις Ἰάσων εἷμα*
*θεῷ πίσυνος*
*εἴχετ' ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμάκου*
*ξείνας ἐφετμαῖς.*
*σπασσάμενος δ' ἄροτρον, βοέους δήσαις ἀνάγκας*
*ἔντεσιν αὐχένας, ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ*
*κέντρον αἰανὲς βιατὰς ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ*
*μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμ-πας ἄχει,*
*δύνασιν Αἰήτας ἀγασθείς.*

*πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας* Ἀντ. ιαʹ.
*ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας ἔρεπτον, μει-*
*λιχίοις τε λόγοις*
*ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς δέρμα*
*λαμπρὸν*
*ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·*

---

227. *ἐκτανύσαις* coni. Hecker — 228. *ἀναβωλακίας B C D*, *ἀνὰ βώλακας, ἐς δ' ὀρ.* coni. Hartung — *ὀρόγυιαν* coni. Hermann: *ὄργυιαν B C D* — 229. fort. *τωὔτ'* — 231. *χρυσέῳ* om. *C* — 232. *κροκόεν B*: *κρόκεον C D* — 233. *ἐόλει* coni. Boeckh: *αἰόλλει* codd., *αἰόλει* Pauw. — 234. *βοέους C*: *βοέοις* $B^2$ (in loco perforato) *D* et schol. — *δήσας D E*, *δῆσεν* $B^2$ *C* — *ἀνάγκας* $B^2$*CD*: *ἀνάγκας* et *ἀνάγκᾳ* schol. — 235. *ἐμβάλλων B*: *ἐμβαλὼν C D E* — 237. *ἀμφων. C* — 239. *ἑταῖροι Byz.*: *ἑτάροι B? C* $D^{pc}$, *ἕτεροι* $D^{ac}$ —

*ἤλπετο δ' οὐκέτι ϝοι κεῖνόν γε πράξεσθαι πόνον.*
*κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν γεννύων,*
*ὃς πάχει μάκει τε πεντηκόντορον - ναῦν κράτει,*
*τέλεσαν ἂν πλαγαὶ σιδάρου.*

*Ἐπ. ιαʹ.*

*μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συνάπτει καί τινα*
*οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἅγημαι σοφίας ἑτέροις.*
*κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,*
*ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο φόνον·*
*ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' Ἐρυθρῷ*
*Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·*
*ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-*
*ξαντο ϝῖν' ἐσθᾶτος ἀμφίς,*

*καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς* *Στρ. ιβʹ.*
*σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον*
*ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ*

---

**243.** *πράξεσθαι* coni. Hermann: *πράξασθαι* codd.; cf. 223 — **244.** *λαβροτάταιν γεννύοιν* coni. Bergk. — 246. *τέλεσσαν B D E*, *τέλεσεν* v. l. schol. — 248. *πολλοῖς B* — 250. *'κκλέψεν* coni. Herwerden — *σὺν αὐτῷ C* et v. l. schol., *σὺν αὐώτῳ Πελ.* coni. Bergk — *φονόν* requirit Gildersleeve — 251. *τενάγεσσι* coni. Bergk, *περάτεσσι* Hecker coll. Od. XI 13 — 253. *ϝῖν'* coni. Kayser: *κρίσιν* codd. et schol., *κρῖμ'* vel *ἐπέδειξαν κρίσις* coni. Hermann, *ἐπέδειξαν βίαν* coni. Oelschläger — *ἀμφί C*[2] — **255.** *σπέρμ' . . . ἀκτῖνος* coni. Hermann: *περ . . . ἀκτῖνας* codd. — *ὄλβου B? E*: *ὄλβῳ D* et schol., *ὄλβον* B? C — 256. νύκτες

*τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν*
*ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ*
*νᾶσον· ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον*
*σὺν θεῶν τιμαῖς ὀφέλλειν κἄστυ χρυ-σοθρόνου*
*διανέμειν θεῖον Κυράνας,*

*ὀρθόβουλον μῆτιν ἐφευρομένοις.* *Ἀντ. ιβ'.*
*γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις ὄζους*
*ὀξυτόμῳ πελέκει*
*ἐξερείψῃ μὲν μεγάλας δρυός, αἰσχύνῃ δέ ϝοι θαητὸν*
*εἶδος,*
*καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,*
*εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον,*
*ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα*
*μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν - τείχεσιν,*
*ἑὸν ἐρημώσαισα χῶρον.*

*Ἐπ. ιβ'.*
*ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος.*
*χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφι-*
*πολεῖν.*
*ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·*
*ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυσπαλὲς δὴ γίνεται,*
*ἐξαπίνας*

---

*B C*[1] et schol.: *νυκτός C*[3] *D* — 257. *τέλλετε B* — 258. *τὰν* coni. Boeckh: *ἂν B C D* et v. l. schol.: *ἄν* i. e. *ἀνά* Hermann, *ἐν* Chairis in scholiis — *ἀπῴκισαν B C* — 260. *θεῶν* codd.: *θεῷ* schol. — *κἄστυ* coni. Dawes: *ἄστυ* codd. et schol. — 263. *ὀξυτόμῳ C*: *ὀξυτάτῳ B D* — 264. *ἐξερείψῃ* coni. Hermann: *ἐξερείψαι* (-*ρίψ*. *B C*) *B C D* — *μὲν* Hermann: *κε B C D E* — 265. *φθινόπωρος* paraphrasis — 268. *ἀμφέπῃ* coni. Heyne: *ἀμφέπει* codd. — 271. *τραῦμα C* — 272. *φαυρ. C* — 273. fort. *ἐξ ἀνίας,* post non ante *ἐξαπίνας* interpunxit Ald. —

εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.
τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες·
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
νας θέμεν σπουδὰν ἅπασαν.

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος Στρ. ιγ'.
ῥῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν
πράγματι παντὶ φέρειν.
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. ἐπέγνω μὲν
Κυράνα
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ·
ὀρφανίζει μὲν κακᾶς γλῶσσαν φαεν-νὰν ὀπός,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς, Ἀντ. ιγ'.
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς πρὸς ἀν-
θρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν· θεράπων δέ Ϝοι, οὐ δράστας ὀπαδεῖ.
φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον, καλὰ γινώσκοντ' ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα· καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων.
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν - δὲ χρόνῳ
μεταβολαὶ λήξαντος οὔρου

---

278. ὃ φᾶ coni. Bergk — 280. μέγαρον βάττου Mosch.: βάττου μέγαρον *B C D E* — 281. δαμοφίλουσι *D*, Δαμόφιλον coni. Beck et probat Madvigius Adv. I 187 — ἐν πράξει coni. Herwerden — 283. ὀρφ. μὲν κακ. om. *D* — κακᾶς γλῶσσαν φαεν-νὰν coni. Herwerden: κακὰν γλῶσσαν φαεννᾶς (φαενᾶς *B C²*) codd. — 285. ἐξερίζων *C* — 288. ἀνιαρώτ. *C D* — γιγν. *B* — 291. ἀφθίτους mavult Bergk —

*'Επ. ιγ'.*

*ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ*
*οἶκον ἰδεῖν, ἐπ' 'Απόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων*
*θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς*
*δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν,*
*μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν.*
*καί κε μυθήσαιθ' ὁποίαν 'Αρκεσίλα*
*εὗρε παγὰν ἀμβροσίων ἐπέων,*
*πρόσφατον Θήβᾳ ξενωθείς.*

---

294 *κράνᾳ*: *κυράνα D* — 296. *δαιδαλέοις D* — 298. *μυθήσαιθ' ὁποίαν C*: *μυθήσαιτο ποίαν B D* — *'Αρκεσίλα B C D*: *'Αρκεσίλᾳ* Stephanus.

## ΠΥΘΙΟΝ. Ε΄.

# ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ

### ΑΡΜΑΤΙ

**Pyth. 31 = 466 (462) a. Ch.**

---

### Strophae.

⏑ –́ ⏑ –   –́ ⏑ ⏓|
⏑ –́ ⏑ ⏕   –́ ⏑ –|⏑ –́⏑ ⏑ ⏓
⏑ –́ ⏑ ⏑⏑   –́|⏑ –⏑ ⏑ –́ ⏑ –   ⏑́⏑ ⏑ ⏓|
⏑́⏑ ⏑ ⏑⏑ ⏑ ⏓̇|
–́ ⏑ ⏕   –́⏑ ⏑ ⏓|
⏑ – –́ ⏑ ⏓|
– –́ ⏑, –   –́⏑ ⏑ –|⏑ ⏓̇
⏑ – –́ ⏑ –|⏑ ⏑ –́ ⏑ ⏓
⏑ –́ ⏑ –|   –́ ⏑ –   –́ ⏑ ⏓|
–́ ⏑ –   –́⏑ ⏑ –   ⏑́⏑ ⏑|–   –́ ⏑ ⏓
⏑ –́   –|   –́ ⏑ – ⏑ –́ ⏑ ⏓|

### Epodi.

⏑ – –́ ⏑ ⏑⏑   –́ ⏑ –|⏑ –́⏑ ⏑ ⏓
⏑ –́   –⏑ ⏑ –́ ⏑ – ⏑,|–́ ⏑ –   –́ ⏑ –⏑ ⏑ ⏓̇|
– ⏑ –⏑ ⏑ –   ⏑⏑ ⏑ –⏑ ⏑ ⏓|
⏑ –́ ⏑ –   –́ ⏑ –⏑ ⏑ –́   –|
⏑ – –́⏑ ⏑ –   ⏑́⏑|⏑ ⏓
–́⏑ ⏑ –,   ⏑́⏑ ⏑ –⏑|⏑ –   –́ ⏑ ⏓|
⏑ –́ ⏑ ⏕ ⏑ –́ ⏑ ⏕ ⏑ –́   –
–́ ⏑ –   –́ ⏑ ⏓|
⏕̇ ⏑̄ –⏑ ⏑ –́|⏑ –   –́⏑ ⏑ –|⏑ ⏑̄̇ ⏑ –   –́ ⏑ ⏓\

Ὁ πλοῦτος εὐρυσθενής, *Στρ. α'.*
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου
  παραδόντος αὐτὸν ἀνάγῃ,
πολύφιλον ἑπέταν.
ὦ θεόμορ' Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσσεαι
ἕκατι χρυσαρμάτου Κάστορος,
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν
καταιθύσσει μάκαιραν ἑστίαν.

σοφοὶ δέ τοι κάλλιον *Ἀντ. α'.*
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ' ἐρχόμενον ἐν δίκᾳ
  πολὺς ὄλβος ἀμφινέμεται·
τὸ μὲν ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων,
ἔχει συγγενές τ'
ὀφθαλμὸς αἰδοιότατον γέρας,
τεᾷ τοῦτο μιγνύμενον φρενί·
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι

---

2. *ἀρετᾷ* codd. et schol.: *ὀργᾷ* coni. Hermann — 5. *θεόμορ'* coni. Schmid: *θεόμοιρ'* *BCD* — 6. *νιν* *B* $C^{pc}$ *D* et schol.: *νυν* $C^{ac}$ — 7. *ἀπὸ βαθμίδων* maluit Boeckh — 8. *μετανίσ.* *BCD* — 10. *εὐδιανὸς* coni. Schneider, *εὐδιάν' ὡς* coni. Bergk — *ἐὰν* *C* — 12. *δέ τοι* Mosch.: *δ' ἔτι* (*δέ τι* *C*) *BCD* — 13. *ἐρχόμενος* coni. Drachmann — 16. *ἐσι* *D* — 17. *συγγενὲς* coni. Bergk: *συγγενὴς* codd. et schol. — *τ'* add. Mommsen: *δ'* add. Cratandrina; *ἐπεὶ συγγενὴς* coni. Hermann — 18. *αἰδοιότατον* coni. Schmid: *αἰδοιέστατον* codd. et schol. —

*πύργος ἄστεος ὄμ-μα τε φαεννότατον*
*ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι*
*λέοντες περὶ δείματι φύγον,*
*γλῶσσαν ἐπεί - σφιν ἀπένεικεν ὑπερ - ποντίαν·*
*ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων*
*θῆρας αἰνῷ φόβῳ,*
*ὄφρα μὴ ταμίᾳ Κυρά-*
*νας ἀτελὴς γένοιτο μαντεύ-μασιν.*

*ὃ καὶ βαρειᾶν νόσων* *Στρ. γ'.*
*ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,*
*πόρεν τε κίθαριν δίδωσί τε*
*Μοῖσαν οἷς ἂν ἐθέλῃ,*
*ἀπόλεμον ἀγαγὼν*
*ἐς πραπίδας εὐνομίαν,*
*μυχόν τ' ἀμφέπει*
*μαντήϊον· τῷ Λακεδαίμονι*
*ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ*
*ἔνασσεν ἀλκᾶντας Ἡρακλέος*
*ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμόν, γαρύειν*
*ἀπὸ Σπάρτας ἐπήρατον κλέος·*

*ὅθεν γεγενναμένοι* *Ἀντ. γ'.*
*ἵκοντο Θήρανδε φῶτες Αἰγεῖδαι,*

---

57. *ξεν.* *X*: *ξεῖν.* *BDE* — 58. *φύγον* Mosch.: *φεῦγον* *BDE* — 59. *ἐπένεικεν* lemma cod. *U* probante Heynio — 69. *μαντήιον τῷ καὶ Λακ.* *B D E*, *καὶ* eiec. Pauw schol. secutus, *μαντεῖον, τῷ καὶ* coni. Hermann — 71. *ἔννασεν* *D* — 72. *γαρύειν* coni. Hermann: *γαρύετ'* *B D* (sed *D* in lit.) *E* et schol., *γαρύεντ'* *P*, unde *γαρύειν τἀπὸ* olim conieceram — 73. Σπαρτῶν coni. Hecker —

*Κρισαῖον λόφον*
*ἄμειψεν ἐν κοιλόπεδον νάπος*
*θεοῦ· τῷ σφ' ἔχει κυπαρίσσινον*
*μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν,*
*Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασίῳ*
*κάθεσσαν, τὸν μονόδροπον φυτόν.*

*ἑκόντι τοίνυν πρέπει* 'Αντ. β'.
*νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.*
*'Αλεξιβιάδα, σὲ δ' ἠύκο-*
*μοι φλέγοντι Χάριτες·*
*μακάριος ὃς ἔχεις*
*καὶ πεδὰ μέγαν κάματον*
*λόγων φερτάτων*
*μναμήϊ'. ἐν τεσσαράκοντα γὰρ*
*πετόντεσσιν ἀνιόχοις ὅλον*
*δίφρον κομίξαις ἀταρβεῖ φρενί*
*ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν*
*ἀέθλων καὶ πατρωίαν πόλιν.*

'Επ. β'.
*πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται·*
*ὁ Βάττου δ' ἕπεται παλαιὸς*
*ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,*

---

*ἀγάλματ'* coni. Schmid, *τεκτόνια δαίδαλ'* Hermann — 38. post *ἄμειψεν* interpunxit Bergk, ut *ἐν κοιλόπεδον νάπος* ad *κρέμαται* referatur — 39. *θεοῦ· τῷ* coni. Rauchenstein: *θεοῦ. τὸ* codd., *θεῷ· τοῦ* Bergk; *νάπος· θεοῦ τέ σφ' ἔχει* Hartung — 42. *κάθεσσαν τὸν* coni. Boeckh: *καθέσσαντο* vel *καθέσσαν. τὸ* codd. — *μονόδρυον τύπον* coni. Herwerden — 49. *μναμήια D* et schol.: *μναμήιον* (*μνημ. B*) *B C* — 50. *ἀνιόχοισιν C* — 52. *ἀγλαῶν* Mosch.: *ἀγαθῶν B D* — *ἔσεται* Mosch.: *ἔσσεται B D E* —

πύργος ἄστεος ὄμ-μα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι φύγον,
γλῶσσαν ἐπεί-σφιν ἀπένεικεν ὑπερ-ποντίαν·
ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,
ὄφρα μὴ ταμίᾳ Κυρά-
νας ἀτελὴς γένοιτο μαντεύ-μασιν.

ὃ καὶ βαρειᾶν νόσων — Στρ. γ'.
ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθαριν δίδωσί τε
Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν,
μυχόν τ' ἀμφέπει
μαντήϊον· τῷ Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκᾶντας Ἡρακλέος
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμόν, γαρύειν
ἀπὸ Σπάρτας ἐπήρατον κλέος·

ὅθεν γεγενναμένοι — Ἀντ. γ'.
ἵκοντο Θήρανδε φῶτες Αἰγεῖδαι,

---

57. ξεν. *X*: ξειν. *BDE* — 58. φύγον Mosch.: φεῦγον *BDE* — 59. ἐπένεικεν lemma cod. *U* probante Heynio — 69. μαντήιον τῷ καὶ Λακ. *B D E*, καὶ eiec. Pauw schol. secutus, μαντεῖον, τῷ καὶ coni. Hermann — 71. ἔνναεσεν *D* — 72. γαρύειν coni. Hermann: γαρύετ' *B D* (sed *D* in lit.) *E* et schol., γαρύεντ' *P*, unde γαρύειν τἀπὸ olim conieceram — 73. Σπαρτῶν coni. Hecker —

*ἐμοὶ πατέρες, οὐ θεῶν*
*ἄτερ, ἀλλὰ μοῖρά τις ἄγεν.*
*πολύθυτον ἔρανον*
*ἔνθεν ἀναδεξάμενοι,*
*Ἄπολλον, τεᾷ,*
*Καρνήϊ', ἐν δαιτὶ σεβίζομεν*
*Κυράνας ἀγακτιμέναν πόλιν·*
*ἔχοντι τὰν χαλκοχάρμαι ξένοι*
*Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον,*
*καπνωθεῖσαν πάτραν ἐπεὶ Ϝίδον*

*ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως* *Ἐπ. γ'.*
*δέκονται θυσίαισιν ἄνδρας*
*οἰχέοντάς σφι δωροφόροι.*
*τοὺς ⟨δ'⟩ Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς*
*ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.*
*κτίσεν δ' ἄλσεα μείζονα θεῶν,*
*εὐθύτομόν - τε κατέθηκεν Ἀπολ-λωνίαις*
*ἀλεξιμβρότοις πεδιάδα πομπαῖς*
*ἔμμεν ἱππόκροτον*
*σκυρωτὰν ὁδόν, ἔνθα πρυμ-*
*νοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών.*

---

77. *πολύθυτον ἐς ἐρ.* *B D F G P O R V*, *ἐς* om. *E* et Mosch. neque legisse videntur schol.; *ἄγ' ἐν* coni. Mingarelli commate ante *πολύθ.* sublato — 78. *ἀναδεξαμέναν* et *σεβιζέμεν* coni. Hermann — 80. *Καρνήϊ' ἐν* Boeckh: *καρνεῖ' ἐν* *B D E*, *Καρνεῖε σ' ἐν* et deinde *Κυράνας τ'* coni. Bergk — *σεβιζέμεν* coni. Pauw, probavit Hermann — 81. *ἀγακτιμέναν* codd.: *ἀγακλυμέναν* coni. Hecker, *ἀν' εὐκτιμέναν* coni. Schömann — 84. *εἶδον* *D* — 85. *ἐνδικαίως* *D*pc — 86. *δέχονται* *D* — *ἄνδρας οἰχνέοντας σφι* ex scholiis Hartung: *ἄνδρες οἰχνέοντές σφε* *B D E* et pars scholiorum — 87. *τοὺς δ' Ἀρ.* scripsi: *τοὺς Ἀρ.* codd. — 88. *βαθείας* ex scholiis Bergk — 90. *εὐθύτονον* ex scholiis Schmid; at. cf. I. VI 22 —

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΡΜΑΤΙ

Pyth. 24 = 494 (490) a. Ch.

---

Strophae.

⏑ – ⏑ – ⏕ ⏑ –⏑ ⏑ – ⏑ – ⏓ |
⏑ – ⏑ –⏑ ⏑ ⏓
⏕ ⏑ –⏑ ⏑ | – ⏑ ⏕ – ⏑ ⏓
⏕ | – – ⏑ – ⏑ –⏑ ⏑ –
–⏑ ⏑ – ⏑ | – – ⏑ – ⏑ –⏑ ⏑ – |
⏕ ⏑ –⏑ ⏑ – ⏑ – – ⏑ ⏕ – |
⏑ – ⏑ – – |
– – ⏑ –⏑ ⏑ – – |
⏑ – – ⏑ – ⏑ – ⏒ – ⏑ ⏓ |

*Ἀκούσατ᾽· ἦ - γὰρ ἑλικώπιδος Ἀφροδίτας* Στρ. α΄.
*ἄρουραν ἢ Χαρίτων*
*ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου*
*χθονὸς ἐς - νάϊον προσοιχόμενοι·*
*Πυθιόνικος ἔνθ᾽ - ὀλβίοισιν Ἐμμενίδαις*

---

3. *ἀναπολήσομεν* coni. Schmid — 4. *νάϊον* coni. Hermann: *ναὸν* codd., *λαϊνὸν* coni. Bergk —

*ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,*
*πέφανταί θ' ἁρματηλάτας σοφός·*

*ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,* 'Επ. δ'.
*τετόλμακε. θεός τέ Ϝοι τὸ*
*νῦν τε πρόφρων τελεῖ δύνασιν,*
*καὶ τὸ λοιπὸν ὁμοῖ-α, Κρονίδαι μάκαρες,*
*διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς*
*ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων*
*χειμερία - κατὰ πνοὰ δαμαλί-ζοι χλόον.*
*Διός τοι νόος μέγας κυβερνᾷ*
*δαίμον' ἀνδρῶν φίλων.*
*εὔχομαί νιν Ὀλυμπίᾳ*
*τωὐτὸ δόμεν γέρας ἔπι Βάττου γένει.*

---

114. *ποτηνὸς B*, *πτηνὸς D* — 115. *πέφανται, χάρμ.* Hartung — 116. *ὅσαι* Mosch.: *ὅσσαι B D E* — 118. *λοιπὸν ὦ Κρον. B D E*, *λοιπὸν ὦ πλεῖστα Κρον.* Mosch., *λοιπὸν ὅμως ἔ Κρον.* coni. Bergk; *ὦ* eiecto suppleverunt *ὁμοῖα* Hartung. *ἔπειτα* Hermann, *ὄπισθε* Boeckh — 121. *καταπνοὰ δαμ.* vulgo — *δνοπαλίζοι* coni. Bergk, *πελεμίζοι* coni. Herwerden — *χλόον* (*χλόαν* Bergk) scripsi: *χρόνον* codd., *βίον* interpretantur scholia — 123. *φιλίων B* — 124. *τωὐτὸ* Bergk: *τοῦτο* codd. — *ἔπι* Tricl.: *ἐπὶ B D*, *ἔτι* coni. Heyne.

ΠΥΘΙΟΝ. ϛ.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΡΜΑΤΙ

Pyth. 24 = 494 (490) a. Ch.

---

Strophae.

⏑ –́ ⏑ – ⏖ ⏑ –⏑ ⏑ –́ ⏑ – ⏒ |
⏑ –́ ⏑ –⏑ ⏑ ⏒
⏖ ⏑ –⏑ ⏑ | –́ ⏑ ⏖ –́ ⏑ ⏒
⏖ | – –́ ⏑ – ⏑ –́⏑ ⏑ –
–⏑ ⏑ –́ ⏑ | – –́ ⏑ – ⏑ –́⏑ ⏑ – |
⏖ ⏑ –⏑ ⏑ –́ ⏑ – –́ ⏑ ⏖ –́ |
⏑ –́ ⏑ – –́ |
– –́ ⏑ –⏑ ⏑ –́ – |
⏑ –́ – ⏑ –́ ⏑ – ⏑̄ –́ ⏑ ⏒ |

*Ἀκούσατ᾽· ἦ - γὰρ ἑλικώπιδος Ἀφροδίτας* *Στρ. α΄.*
*ἄρουραν ἢ Χαρίτων*
*ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου*
*χθονὸς ἐς - νάϊον προσοιχόμενοι·*
*Πυθιόνικος ἔνθ᾽ - ὀλβίοισιν Ἐμμενίδαις*

---

3. *ἀναπολήσομεν* coni. Schmid — 4. *νάϊον* coni. Hermann: *ναὸν* codd., *λαϊνὸν* coni. Bergk —

*ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει*
*ἑτοῖμος ὕμνων*
*θησαυρὸς ἐν πολυχρύσῳ*
*Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·*

*τὸν οὔτε χει-μέριος ὄμβρος ἐπᾳκτὸς ἐλθών,* *Στρ. β'.*
*ἐριβρόμου νεφέλας*
*στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς*
*ἁλὸς ἄξ-οισι παμφόρῳ χεράδι*
*τυπτόμενον. φάει - δὲ πρόσωπον ἐν καθαρῷ*
*πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ*
*λόγοισι θνατῶν*
*εὔδοξον ἅρματι νίκαν*
*Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.*

*σύ τοι σχέθων - νυν ἐπιδέξια χειρὸς ὀρθὰν* *Στρ. γ'.*
*ἄγεις ἐφημοσύναν,*
*τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ*
*Φιλύρας - υἱὸν ὀρφανιζομένῳ*
*Πηλεΐδᾳ παραι-νεῖν· μάλιστα μὲν Κρονίδαν,*
*βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,*
*θεῶν σέβεσθαι·*

---

10. *οὔτε V* et scholia: *οὐ B D E*, *οὐχὶ* Tricl. — *ἐπᾳκτὸς* Bergk: *ἐπακτὸς* codd. — 12. *ἄνεμος B D*: *ἄνεμοι E* et schol. — 14. *τυπτόμενον* coni. Dawes: *τυπτόμενοι B D E* et schol., *τυπτόμενος V*, *χεράδει σποδέων* aut legit aut interpretatur Et. M. 808, 32, *ἄξοιτο παμφόρος* et *ἐνσποδέων* coni. Bornemann Philol. 51, 469, *τυπτομένους* coni. Leutsch — 18. *κρισαίαισιν ἐνὶ πτυχαῖσιν B D*, corr. Mosch. — *ἀπαγγέλλει B*, *ἀπαγγελεῖς* coni. Heyne — 19. *νῦν B* et schol.: *νιν D E* — 21. *τὰ* Schmid: *τὰν B D E* et *schol.*, *τὸ* Tricl. — *μεγαλοσθενῆ* coni. Bergk — 25. *θεὸν B* —

*ταύτας δὲ μή ποτε τιμᾶς*
*ἀμείρειν γονέων βίον πεπρωμένον.*

*ἔγεντο καὶ - πρότερον Ἀντίλοχος βιατὰς* Στρ. δ'.
*νόημα τοῦτο φέρων,*
*ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον*
*ἀναμεί-ναις στράταρχον Αἰθιόπων*
*Μέμνονα. Νεστόρει-ον γὰρ ἵππος ἅρμ' ἐπέδα*
*Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν*
*κραταιὸν ἔγχος·*
*Μεσσανίου δὲ γέροντος*
*δονηθεῖσα φρὴν βόασε παῖδα Ϝόν·*

*χαμαιπετὲς - δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ* Στρ. ε'.
*μένων [δ'] ὁ θεῖος ἀνὴρ*
*πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,*
*ἐδόκη-σέν τε τῶν πάλαι γενεᾷ*
*ὁπλοτέροισιν, ἔρ-γον πελώριον τελέσαις,*
*ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.*
*τὰ μὲν παρίκει·*
*τῶν νῦν δὲ καὶ Θρασύβουλος*
*πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,*

*πάτρῳ τ' ἐπερ-χόμενος ἀγλαΐαν ἅπασαν.* Στρ. ϛ'.

---

26. *ταχτᾶς* coni. Herwerden — 28. *ἔγεντο* Tricl.: *ἐγένετο* *B D* — 30. *ἐναριβρ.* *D* — 31. *ἀναμ.* Tricl.: *ἀμμ.* *B D* — 32. *νεστόρειον* Tricl.: *νεστόρεον* *B D* — 33. *δαχθεὶς* *B* — 36. *δονηθ.* *B D E* — *βόασεν* Schmid — 37. *ἀπέριψεν αὐτοῦ·* ante Heynium — 38. *δ' ὁ* *B E* et paraphr.: δὲ (om. ὁ) *D*, *δ'* abiecit Bergk — 40. *τέ* codd.: δὲ Beck cum paraphr.; fort. *ἔδόκησ' ἐν δὲ* — 43. *παρήκει* *D* — 44. *τῶν*: τὰ D — νῦν δὲ Tricl.: *δὲ νῦν* *B D E* — 46. *τ'* codd.: fort. γ' — ἀγλαΐαν

*νόῳ δὲ πλοῦτον ἄγει,*
*ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,*
*σοφίαν - δ' ἐν μυχοῖσι Πιερίδων·*
*τίν τ', Ἐλέλιχθον, ὀρ-γᾶς ὃς ἱππειᾶν ἐσόδων,*
*μάλα ϝαδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.*
*γλυκεῖα δὲ φρὴν*
*καὶ συμπόταισιν ὁμιλεῖν*
*μελισσᾶν ἀμείβεται τρητὸν πόνον.*

---

*ἔδειξεν ἅπασαν BDE*, *ἅπασαν* om. *Byz.*, mihi potius ut Bergkio[3] *ἔδειξεν* interpolatorem redolere videtur; *ἀγλαΐαν πέπαται* coni. M. Schmidt — 47. *ἄγειν D* — 48. *ἥβαν* codd. et schol.: *ἀνάταν* coni. Hermann collato P. II 28 — 49. *μυχοῖσι*: *πτυχαῖσι* coni. Leutsch Phil. 39, 395 — 50. *τίν*: *τήν D* — *ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων* de coni. scripsi: *ὀργαῖς πάσαις ὃς* (*ὅσον B*) *ἱππείαν ἔσοδον BDE*; schol.: *ὃς εὗρες ἱππείας ἐσόδους*, unde *ὅσθ' εὗρες ἱππίαν ἔσοδον* Boeckh, *ἃς εὗρες ἱππείας ἐσόδους* Mommsen — *Ἐλάσιχθον* coni. Bergk e fr. 18 — 51. *προσέχεται* Schmid: *προσέρχεται BDE* et schol. — 53. *ὁμιλῶν* coni. Pauw.

## ΠΥΘΙΟΝ. Ζ'.

# ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙῼ

### ΤΕΘΡΙΠΠῼ

486 a. Chr.

---

**Strophae.**

– – ⏑ – ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ – –|
⏑ –⏑ ⏑ – – ⏑ –| ⏒ – ⏑ –⏑ ⏑ –
– – ⏑ – –|
– –⏑ ⏑ – ⏓
⏑ –| ⏑⏑ ⏑ – ⏑ – ⏓|
– –⏑ ⏑ – ⏑ –|
⏑⏑ ⏑ – ⏑ ⏓
⏒ ⏑⏑ ⏑ – –|

**Epodi.**

– ⏑ –⏑ ⏑ –| – ⏑ –⏑ ⏑ –|
⏑ – – – ⏑ –|
– –⏑ ⏑ – ⏑ –|
⏑⏑ ⏑ –⏑ ⏑ ⏓|
⏑⏑ ⏑ – ⏑ –⏑ ⏑ –|
– – ⏑ – ⏑ –⏑ ⏑ –|
– – ⏑ – –⏑ ⏑ –|
⏑ –⏑ ⏑ – –|

*Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι* **Στρ.**
*προοίμιον Ἀλκ-*
*μανιδᾶν εὐρυσθενεῖ γενεᾷ,*
*κρηπῖδ' ἀοιδᾶν*
*ἵπποισι βαλέσθαι·*
*ἐπεὶ τίνα πάτραν, τίνα Ϝοῖκον*
*αἰνέων ὀνυμάξομαι*
*ἐπιφανέστερον*
*Ἑλλάδι πυθέσθαι;*

*πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ* **Ἀντ.**
*Ἐρεχθέος ἀσ-*
*τῶν, Ἄπολλον, οἳ τεόν γε δόμον*
*Πυθῶνι δίᾳ*
*θαητὸν ἔτευξαν.*
*ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ*
*νῖκαι, μία δ' ἐκπρεπὴς*
*Διὸς Ὀλυμπιάς,*
*δύο δ' ἀπὸ Κίρρας,*

*ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων.* **Ἐπ.**
*νέᾳ δ' εὐπραγίᾳ*

---

1. *μεγαλοπόλ.* codd. et metr. schol.: *μεγαλοπτόλ.* coni. Boeckh — 2. *εὐρυσθ.* *B D* et schol.: *ἐρισθ.* Tricl. — 4. *ἵπποισι* *Byz.*: *ἵπποις* *B D E* — 5. *τίν' οἶκον* *D*, *τίνα τ' οἶκον* *B E* et schol. — 6. *αἰνέων* coni. Kayser: *ναίων* codd. quod antiquitus lectum et Didymo probatum esse testantur scholia, *ναίοντ'* et *αἰῶν'* coniecturae in scholiis commemoratae, *δίων* coni. Bergk, *ὑμῶν* Wölfflin, *λαῶν* vel *θνατῶν* Schneidewin — *ὀνυμάξομαι* Tricl. cum scholiis: *ὀνυμάξαι* (*ὀνομ.* *D*) *B D* — 9. *πολίεσι* Tricl.: *πολίεσσι* *B D*; cf. v. 1 — *ὁ λόγος* *B D*, *ὁ* om. Mosch. — 10. *Ἀπόλλων* Ald. fort. recte — *τεόν γε* Mosch.: *τεόν τε* *B D E*; *τεὸν μέγαρον* coni. Rauchenstein — 16. *δοιὼ ἀπὸ* *Tricl.* — 18. *τι* codd.: *τε* coni. Hartung —

*χαίρω τι· τὸ δ' ἄχνυμαι,*
*φθόνον ἀμειβόμενον*
*τὰ καλὰ Ϝέργα. φαντί γε μὰν*
*οὕτω κεν ἀνδρὶ παρμονίμαν*
*θάλλοισαν εὐδαιμονίαν*
*τὰ καὶ τὰ φέρεσθαι.*

---

22. *οὔπω* coni. Goram — *παρμενέμεν* coni. Hartung.

## ΠΥΘΙΟΝ. Η'.

# ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΛΑΙΣΤΗι

Pyth. 35 = 450 (446) a. Ch.

---

Strophae.



Epodi.



Φιλόφρον Ἡσυχία, Δίκας Στρ. α'.
ὦ μεγιστόπολι θύγατερ,
βουλᾶν τε καὶ πολέμων

ἔχοισα κλα-ῖδας ὑπερτάτας,
Πυθιόνικον
τιμὰν Ἀριστομένει δέκευ.
τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι
τε καὶ παθεῖν ὁμῶς
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ.

τὺ δ', ὁπόταν τις ἀμείλιχον — Ἀντ. α'.
καρδίᾳ κότον ἐνελάσῃ,
τραχεῖα δυσμενέων
ὑπαντιάξ-αισα κράτει τιθεῖς
ὕβριν ἐν ἄντλῳ.
τὰν οὐδὲ Πορφυρίων λάθεν
παρ' αἶσαν ἐξερεθίζων·
κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι·

βία δὲ καὶ μεγάλαυχον ἔσ- — Ἐπ. α'.
φαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγ-
κρανος οὔ νιν ἄλυξεν,
οὐδὲ μὰν βασιλεὺς Γιγάντων·
δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ' Ἀπόλ-λωνος· ὃς εὐμενεῖ νόῳ

---

4. κλᾶδας *B* — ὑπερτάτους *D* — 5. ἀριστομένους $D^{s}$ — 6. ὅπως *B* — 11. τιθείς: τίθῃς malo — 12. λάθεν coni. Mathiae Obs. misc. II 11: μάθε (μάθεν *D*) codd. et schol. — 14. ἑκόντες *B* — 15. βία *B D* et schol.: βίᾳ *Z* quod Heynius anteposuit — 16. ἑκατόγκρανος coni. Schmid: ἑκατοντοκάρανος *B*, ἑκατοντάκρανος *D* — 17. δαμᾶθεν B — κεραυνῷ D —

Ξενάρκειον ἔδεκτο Κίρ-
ραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ.

ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς Στρ. β'.
ἁ δικαιόπολις ἀρεταῖς
κλειναῖσιν Αἰακιδᾶν
θιγοῖσα νᾶ-σος· τελέαν δ' ἔχει
δόξαν ἀπ' ἀρχᾶς.
πολλοῖσι μὲν γὰρ ἀείδεται,
νικαφόροις ἐν ἀέθλοις
θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις.

τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει· Ἀντ. β'.
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ - φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν
κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ,
νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

παλαισμάτεσσι γὰρ ἰχνεύων Ἐπ. β'.
ματραδελφεοὺς

---

20. *παρνασίδι* coni. Boeckh: *παρνασίᾳ* codd. — 21. *ἔπεσε* codd.: *ἔπετε* exspectes, cf. v. 81 — 24. *δ' ἔχει* om. *D* — 26. *νικαφόροις* *BD*: *νικαφόρους* *E* — 28. *καὶ ἀνδρ.* *V*: *καὶ ἐν ἀνδρ.* *B D E* — 32. *κνίξῃ* coni. Schroeder — *μοι* *B*: *μου* *D* — 35. *παλαισμάταισι* $B^1$ —

*Ὀλυμπίᾳ τε Θεόγ-*
*νητον οὐ κατελέγχεις,*
*οὐδὲ Κλειτομάχοιο νίκαν*
*Ἰσθμοῖ θρασύγυιον·*
*αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις*
*τόν, ὅνπερ ποτ' Οἰκλέος*
*παῖς ἐν ἑπταπύλοις ἰδὼν*
*υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,*

*ὁπότ' ἀπ' Ἄργεος ἤλυθον* *Στρ. γ'.*
*δευτέραν ὁδὸν Ἐπίγονοι·*
*ὧδ' εἶπε μαρναμένων·*
*Φυᾷ τὸ γεν-ναῖον ἐπιπρέπει·*
*ἐκ πατέρων*
*παισὶ λῆμα. θαέομαι σαφὲς*
*δράκοντα ποικίλον αἰθᾶς*
*Ἀλκμᾶν' ἐπ' ἀσπίδος*
*νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.*

*ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ* *Ἀντ. γ'.*
*νῦν ἀρείονος ἐνέχεται*
*ὄρνιχος ἀγγελίᾳ*
*Ἄδραστος ἥ-ρως· τὸ δὲ Ϝοίκοθεν*
*ἀντία πράξει.*
*μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ*

---

40. *Θήβαις υἱοὺς* coni. Schmid — *αἰν.* Boeckh: *ἠν.* (*ἡν. D*) codd. — 43. *ὧδ' εἶπε* Tricl.: *ὧδε δ' εἶπε B D E* — 44. *ἐπιτρέπει D* — 45. *παισὶ B D*, *παισὶν Byz.*, *παῖ, σοὶ* interpunctione post *ἐπιπρέπει* deleta coni. Hermann — *θαέομαι* $B^{8}$: *θεάομαι* $B^{1}$ *D* — 48. *ποτέρα D* — 52. *μόνος*: *μόνον* coni. Bornemann; *μοῦνος* hic et 72 *Ξείναρκες* cum *Byz.* Hermann; idem v. 92 *μέρμηραν* an scribendum sit dubitat opusc. VII 158 —

νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν - δ' ἐν μυχοῖσι Πιερίδων·
τίν τ', Ἐλέλιχθον, ὀρ-γᾶς ὃς ἱππειᾶν ἐσόδων,
μάλα ϝαδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

---

ἔδειξεν ἅπασαν *BDE*, ἅπασαν om. *Byz.*, mihi potius ut Bergkio[3] ἔδειξεν interpolatorem redolere videtur; ἀγλαΐαν πέπαται coni. M. Schmidt — 47. ἄγειν *D* — 48. ἥβαν codd. et schol.: ἀνάταν coni. Hermann collato P. II 28 — 49. μυχοῖσι: πτυχαῖσι coni. Leutsch Phil. 39, 395 — 50. τίν: τήν *D* — ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων de coni. scripsi: ὀργαῖς πάσαις ὃς (ὅσον *B*) ἱππείαν ἔσοδον *BDE*; schol.: ὃς εὗρες ἱππείας ἐσόδους, unde ὅσθ' εὗρες ἱππίαν ἔσοδον Boeckh, ἃς εὗρες ἱππείας ἐσόδους Mommsen — Ἐλάσιχθον coni. Bergk e fr. 18 — 51. προσέχεται Schmid: προσέρχεται *BDE* et schol. — 53. ὁμιλῶν coni. Pauw.

*ἀμφ' ἕκαστον, ὅσα νέομαι.*
*κώμῳ μὲν ἁδυμελεῖ*
*Δίκα παρέσ-τακε· θεῶν δ' ὄπιν*
*ἄφθιτον αἰτέω*
*Ξέναρκες, ὑμετέραις τύχαις.*
*εἰ γάρ τις ἐσλὰ πέπαται*
*μὴ σὺν μακρῷ πόνῳ,*
*πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων*

*βίον κορυσσέμεν ὀρθοβού-* Ἐπ. δ'.
*λοισι μαχαναῖς·*
*τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται·*
*δαίμων δὲ παρίσχει,*
*ἄλλοτ' ἄλλον ὕπερθε βάλλων,*
*ἄλλον δ' ὑπὸ χειρῶν·*
*μέτρῳ κατάβαιν'· - ἐν Μεγάροις δ' ἔχεις γέρας,*
*μυχῷ τ' ἐν Μαραθῶνος, Ἥ-*
*ρας τ' ἀγῶν' ἐπιχώριον*
*νικᾷς, τρισσοὺς δ', ὦ 'ριστόμενες, δάμασσας ἔργῳ.*

*τέτρασι δ' ἔμπετες ὑψόθεν* Στρ. ε'.
*σωμάτεσσι κακὰ φρονέων,*

---

*ῥέπειν* Bergk — 69. *ὅσσα BD* — *νέομαι* codd. et schol.: *νέμομαι* coni. Mingarelli, *χέομαι* Jurenka — 72. *ἄφθιτον BD*: *γρ. καὶ ἄφθονον G* in marg. — 73. *πόνῳ*: *χρόνῳ* $V^1$ — 75. *κηρυσσ. D* — 77. *ἄλλοτ' Byz.*: *ἄλλοτε δ' B D E* — *χειρῶν μέτρῳ* (*μέτρον* $D^s$) iungunt codd. et schol.; *ὑπὸ χεῖρα. μέτρῳ* coni. Hartung — 78. *κατάβαιν', ἐν* coni. Bergk, qui tamen in novissima editione *καταβαίνειν* scripsit: *καταβαίνει. ἐν* codd. et schol. — 80. *νικᾷς, τρισσοὺς δ'* coni. Bergk: *νίκαισι* (*νίκαις* lemma *B*) *τρισσαῖς B D E* — *ὦ 'ριστ. B D E*: *'Αριστ.* sine *ὦ Z* probante Heynio — *δάμασσας Byz.*: *δαμάσσαις B*, *δάμασας D E* — *ἔργῳ*: *Ἄργει* susp. Bergk —

*τοῖς οὔτε νόστος ὁμῶς*
*ἔπαλπνος ἐν - Πυθιάδι κρίθη,*
*οὐδὲ μολόντων*
*παρ ματέρ' ἀμφὶ γέλως γλυκὺς*
*ὦρσεν χάριν· κατὰ λαύρας*
*δ' ἐχθρῶν ἀπάοροι*
*πτώσσοντι, συμφορᾷ δεδαιγμένοι.*

*ὁ δὲ καλόν τι νέον λαχὼν* 'Αντ. ε'.
*ἁβρότατος ἔπι μεγάλας*
*ἐξ ἐλπίδος πέταται*
*ὑποπτέροις - ἀνορέαις, ἔχων*
*κρέσσονα πλούτου*
*μέριμναν. ἐν δ' ὀλίγῳ βροτῶν*
*τὸ τερπνὸν αὔξεται· οὕτω*
*δὲ καὶ πιτνεῖ χαμαί,*
*ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.*

*ἐπάμεροι· τί δέ τις; τί δ' οὔ* 'Επ. ε'.
*τις; σκιᾶς ὄναρ*
*ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα*
*διόσδοτος ἔλθῃ,*
*λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν*
*καὶ μείλιχος αἰών.*

---

84. *ἐπ' ἀλπνὸς* Bergk — 85. *οὐδὲ* codd.: *οὔτε* coni. Hartung — 86. *δ' ἐχθρῶν*] *χορῶν* coni. Bergk — 87. *δεδαγμένοι* coni. Bergk — 88. *τι καὶ νέον B* — 89. *ἐπὶ B D*, *ἀπὸ E*, *ἔπι* Hermann — 90. *πέταται B D E*: *τέταται R* — 93. *τὸ* om. *D* — *καὶ ἐπιτνεῖ D* — 95. *οὔ τις*: *οὔτις* al. — 96. *ἄνθρωπος* Plut. de cons. 6: *ἄνθρωποι* codd. Pindari — 97. *φέγγος ἔπεστιν* coni. Heyne: *ἔπεστι φέγγος* codd., *φέγγος ἐπέσκεν* coni. *Hartung* —

*Αἴγινα, φίλα - μᾶτερ, ἐλευθέρῳ στόλῳ*
*πόλιν τάνδε κόμιζε Δὶ*
*καὶ κρέοντι σὺν Αἰακῷ*
*Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ.*

---

100. *καὶ ἀγαθῷ B D*: *καρίστῳ* Tricl., *Πηλεῖ τ' ἐσθλῷ καὶ σὺν Τελ.* Hermann opusc. VII 160.

## ΠΥΘΙΟΝ. Θ'.

# ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩι

### ΟΠΛΙΤΟΔΡΟΜΩι

Pyth. 28 = 478 (474) a. Ch.

---

### Strophae.

⏑⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – – |
–́ ⏑ – – –́ ⏑ – – ⏓
⏑⏑ – | ⏑ –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ – – –́ ⏑ – – | –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – – | –́ ⏑⏑ – ⏑⏑ –, | – –́ ⏑⏑ – ⏑⏑ – ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – | –́ ⏑ – – –́ ⏑ – |
–́ ⏑ – – –́ ⏑ – | – –́ ⏑ – – –́ ⏑ – ⏓ |

### Epodi.

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – |
–́ ⏑⏑ – ⏑⏑ – – | –́ ⏑ – – –́ ⏑ – – | –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑⏑ – | ⏑⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – – |
–́ ⏑ – ⏓ –́ ⏑⏑ – | ⏑⏑ – ⏓ –́ ⏑ – |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –, | –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ ⏑⏑ – –́ ⏑⏑ – ⏑⏑ – – |

*Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν* Στρ. α΄.
*σὺν βαθυζώνοισιν ἀγγέλλων*
*Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν,*
*ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας·*
*τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων*
*ποτὲ Λατοΐδας*
*ἅρπασ', ἔνεγκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δί-*
*φρῳ, τόθι νιν πολυμήλου*
*καὶ πολυκαρποτάτας*
*θῆκε δέσποιναν χθονός,*
*ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.*

*ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα* Ἀντ. α΄.
*Δάλιον ξεῖνον, θεοδμάτων*
*ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·*
*καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,*
*ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ'*
*Ὑψέος εὐρυβία·*
*ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς, ἐξ*
*Ὠκεανοῦ γένος ἥρως*
*δεύτερος· ὅν ποτε Πίν-*
*δου κλεενναῖς ἐν πτυχαῖς*
*Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν,*

*Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον* Ἐπ. α΄.

---

2. *ἀγγέλων D* — 6. *ἅρπασεν BD* — *ἔνεγκε BDE*: *ἔνεικε V*; cf. v. 36 et 53 — *νιν E* et fort. $B^{ac}$: *νῦν* $B^{pc}$ *D* — 8. *τρίταν D*: *τριτάταν B* — 10. *ξένον D* — *θεοδμάτων BD*: *θεοδώτων E*, *θεοσδότων V* — 11. *κούφᾳ G*: *κούφα BDE* — 12. *ἐρατὰν B*: *ἀρετάν D* — 13. *μιχθέντα B*: *μιχθέντι D* — 16. *Κρείοισ' Byz.*: *κρέοισ' BDE* — 17. *γαίαι D* fortasse recte, cf. N. III 10 — *εὐώλενον* codd.: *λευκώλενον* ex paraphrasi λευ-

*θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ' ἱστῶν παλιμβά-*
*μους ἐφίλησεν ὁδούς,*
*οὔτε δείπνων οἰκοριᾶν μεθ' ἑταιρᾶν τέρψιας,*
*ἀλλ' ἀκόντεσσίν τε χαλκέοις*
*φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους*
*θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον*
*βουσὶν εἰράναν παρέχοισα πατρῴαις, τὸν δὲ σύγκοιτον*
*γλυκὺν*
*παῦρον ἐπὶ γλεφάροις*
*ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.*

*κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας* *Στρ. β'.*
*ὀβρίμῳ μούναν παλαίοισαν*
*ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.*
*αὐτίκα δ' ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ·*
*Σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπὼν θυμὸν γυναικὸς*
*καὶ μεγάλαν δύνασιν*
*θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ, μόχθου*
*καθύπερθε νεᾶνις*
*ἦτορ ἔχοισα· φόβῳ δ'*
*οὐ κεχείμανται φρένες.*
*τίς νιν ἀνθρώπων τέκεν; ποίας δ' ἀποσπασθεῖσα φύτλας*

---

*κόπηχυν* expiscatus est Lehrs — 19. *δείπνων B D*[1]: *δεῖπνον D*[s] et v. l. schol., *δείνων* coni. Bergk — *οἰκουριᾶν* (*οἰκοριᾶν* Mosch., *οἰκοοριᾶν* Schroeder) *μεθ' ἑταιρᾶν τέρψιας* codd.: *τέρψιας οὔθ' ἑταρᾶν οἰκουρίαν* ex scholiis elicuit Bergk — 22. *ἀσυχ. BD* — 24. *γλεφ. V*: *βλεφ. BD* — *ὕπνον . . . παῦρον V*, *ὕπνον ἐπὶ γλεφάροις παῦρ' ἀναλίσκοισα* coni. Bergk; *ἀλδήσκουσα* pro *ἀναλίσκοισα* coni. M. Schmid; *ἀναλίσκ.* coni. Schroeder — 27. *ὀβρ. BD*, *ὀμβρ. P*, cf. O. IV 7 — 29. *ἐκ μεγάρων* codd.: *δὲ σμαραγῶν* coni. M. Schmidt, *δ' ἐκκαλέων* Herwerden — *προσήνεπε BD* — 31. *νεῖκος B D*[1]: *νῖκος D*[s], *νίκην* interpretatur schol. — *κεφαλᾷ* codd.: *κραδίᾳ* coni. Schneidewin — 32. *οὐκ ἐχείμανθεν* coni. Mommsen ex paraphrasi *ἐχειμάσθησαν* — *φρένας* coni. Bergk — 33. *νιν B*: *μὲν D* — *ἀποσπαρθεῖσα* interpretatur schol.

*ὀρέων κευθμῶνας ἔχει σκιοέντων;* *Ἀντ. β'.*
*γεύεται δ' ἀλκᾶς ἀπειράντου.*
*ὁσία κλυτὰν χέρα Ϝοι προσενεγκεῖν,*
*ἦ ῥα καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;*
*τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλαρὸν γελάσσαις*
*ὀφρύι, μῆτιν ἑὰν*
*εὐθὺς ἀμείβετο· Κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς*
*ἱερᾶν φιλοτάτων,*
*Φοῖβε, καὶ ἔν τε θεοῖς*
*τοῦτο κἀνθρώποις ὁμῶς*
*αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τοπρῶτον εὐνᾶς.*

*καὶ γὰρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,* *Ἐπ. β'.*
*ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον· κού-*
*ρας δ', ὁπόθεν, γενεὰν*
*ἐξερωτᾷς, ὦ Ϝάνα, κύριον ὃς πάντων τέλος*
*οἶσθα καὶ πάσας κελεύθους·*
*ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι*
*ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι*
*κύμασι ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλλει,*
*χὠπόθεν*
*ἔσσεται, εὖ καθορᾷς.*
*εἰ δὲ χρὴ καὶ παρ σοφὸν ἀντιφερίξαι,*

*ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν* *Στρ. γ'.*
*τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου*

---

34. *σκιούντων D* — 36. *ὁσία D*: *ὅσια B* — *κλυτὰν F V*: *κλειτὰν B D* — 37. *ἦ ῥα B D*: *ἤ ῥα* Hermann — *κεῖρε B* — 38. *χλαρὸν P*: *χλιαρὸν B D E* — 41. *ἀμφανδὸν* coni. Schmid: *ἀμφαδὸν B D E* — 43. *γενεάν B D*: *γενετὰν E*, *γενεὰ* ex scholiis Hermann — 48. *χωπόθεν* coni. Schmid: χ' ὥτι πόθεν BD, *χ' ὦ τί ποτ' Byz.* — *50. ἀντιφερίξαν D* — 52. ὑπερποντίου D —

*Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·*
*ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις*
*νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ' εὐρυλείμων*
*πότνιά σοι Λιβύα*
*δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων·*
*ἵνα ϝοι χθονὸς αἶσαν*
*αὐτίκα συντελέθειν*
*ἔννομον δωρήσεται,*
*οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ' ἀγνῶτα θηρῶν.*

*τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς* *Ἀντ. γ'.*
*εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ*
*ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.*
*ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐγαῖς,*
*νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θήσονταί*
*τέ νιν ἀθάνατον*
*Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις,*
*ἄγχιστον ὀπάονα μήλων,*
*Ἀγρέα καὶ Νόμιον,*
*τοῖς δ' Ἀρισταῖον καλεῖν.*
*ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.*

*ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν* *Ἐπ. γ'.*
*πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν' ἆμαρ διαίτασεν·*
*θαλάμῳ δὲ μίγεν*
*ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν*

---

54. *ἀρχάπολιν D* — 57. *ἐννόμως* Hartung — 59. ὃν om. *D* — 62. *θαησάμεναι* ex paraphrasi *θαυμάσασαι* restit. Bergk: *θηκάμεναι* (*θακ. B*) *B D*, *κατθηκάμεναι* Mosch. — *αὐγαῖς* coni. Bergk: *αὐταῖς B*, *αὔταις D* — 63. *τέ B*: *γέ E*, om. *D* — *64. ἄγχιστον: ἄλπνιστον* coni. Hermann collato I. v 12 — *65. ἀγραία B*[1] — 67. ὠκεῖα ... πρᾶξις B: ὠκεῖαι ... πράξεις *D*

ἀμφέπει κλεινάν τ' ἀέθλοις.
καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται,
καλλιγύναικι πάτρᾳ
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.

ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι· Στρ. δ'.
βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν
ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον
οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν
ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ' ὑπὸ γᾶν δι-
φρηλάτα Ἀμφιτρύωνος
σάματι, πατροπάτωρ
ἔνθα ϝοι Σπαρτῶν ξένος
κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.

τέκε ϝοῖ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων Ἀντ. δ'.
ἐν μόναις ὠδῖσιν Ἀλκμήνα
διδύμων κρατησίμαχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει,
μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέ-
ψαντο καὶ Ἰφικλέα.

---

71. ἀγαθέᾳ interpretantur scholia: ἀγαθέα *B D* — καρνιάδα *B D* — 78. σοφοῖο *B* — 79. ἔγνον Ahrens collatis P. IV 120 et P. I 42: ἔγνων codd. — 80. ἀτιμάσσ. *B*[1] — Εὐρυσθῆος *Byz.*: Εὐρυσθέος *B D* — 82. σάματι πατροπάτωρ codd.: σάματι πάρ, προπάτωρ ex scholiis elicuit Hartung — 85. μόναις] μόν' *D* — ἀλκμήνα *D*: ἀλκμάνα *B* — 87. περιβάλλει *B*: παραβάλλει *D* — 88. διρκέων *D* — ἀὲ Hermann: αἰεὶ B D, ἀναμέμναται coni. Pauw, ἀΐων μνᾶται Bergk scholiastam αἰσθάνεται

*τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν.*
*Χαρίτων κελαδεννᾶν*
*μή με λίποι καθαρὸν*
*φέγγος. Αἰγίνᾳ τε γὰρ*
*φαμὶ Νίσου τ' ἐν λόφῳ, τρὶς δὴ πόλιν τάνδ' εὐκλεῖξαι,*

*σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών.* *Ἐπ. δ'.*
*οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν*
*ξυνῷ πεπονημένον εὖ*
*μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.*
*κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν*
*παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.*
*πλεῖστα νικάσαντά σε καὶ τελεταῖς*
*ὡρίαις ἐν Παλλάδος εἶδον, ἄφωνοί θ' ὡς ἕκασται*
*φίλτατον*
*παρθενικαὶ πόσιν ἢ*
*υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν,*

*ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου* *Στρ. ε'.*
*Γᾶς ἀέθλοις, ἔν τε καὶ πᾶσιν*
*ἐπιχωρίοις. ἐμὲ δ' ὦν τις ἀοιδὰν*
*διψάδ' ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι*
*καὶ τεῶν δόξαν παλαιῶν προγόνων· οἷοι Λιβύσσας*
*ἀμφὶ γυναικὸς ἔβαν*

---

*καὶ ἔχει μνήμην* interpretantem secutus; *ἀὲ* Pisandrum usurpasse testatur gramm. anon. ap. Cram. An. Par. III 321, 28 — 91. *φαμὶ . . . εὐκλεῖξαι . . . φυγών* codd.: *φατὶ* coni. Schneidewin, *εὐκλέιξεν* Pauw, *εὐκλέϊξας* Hermann, *φυγόντ'* Beck, *τόνδ' . . . φυγόνθ'* Dissen — 93. *οὖν. BD*·*τοὖν.* Bergk — *πεποναμένον* codd.; cf. O. VI 11 — 96. *σύν γε* coni. Boeckh: *σύν τε* codd. et schol. — 98. *ἕκασται B*: *ἑκάστα D* — 99. *ἢ* codd.: *αἱ δ'* coni. Hartung — 101. *ἔν τ' Ὀλ. BD*, *τ'* eiec. *Byz.* — 103. *δ' ἂν* Hermann: *δ' οὖν BD*, *δ' οὐ* lemma cod. *B* — *ἀοιδὰν διψάδ'* *ex schol.* Hermann: *ἀοιδᾶν δίψαν* codd. — 105. *καὶ τεῶν δόξαν*

Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον μνα-
στῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀρισ-
τῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν εἶδος

ἔπλετο· χρυσοστεφάνου δέ ϝοι Ἥβας 'Αντ. ε'.
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει,
οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι, πρὶν
μέσον ἆμαρ ἑλεῖν,
ὠκύτατον γάμον. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρ-
μασιν αὐτίκ' ἀγῶνος.
σὺν δ' ἀέθλοις ἐκέλευ-
σεν διακρῖναι ποδῶν,
ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.

οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ 'Επ. ε'.
νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κο-
σμήσαις τέλος ἔμμεν ἄκρον,
εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
ἀμφί ϝοι ψαύσειε πέπλοις.
ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,

---

παλαιῶν προγόνων transpos. Bergk: καὶ παλαιῶν δόξαν τεῶν προγόνων *BD*, παλαιὰν Mosch., παλαιὰ δόξα Schmid, ἐῶν cum Moschopulo Hermann — 106. Ἴρασα Heyne: Ἴρασσαν *B D*; Ἴρασαν ἐς Tricl. — 113. ἑλεῖν *G*: ἐλθεῖν *B D*, ἑλᾶν coni. Bergk — 115. ἀέθλοις *E*: ἀέθλοισιν *B D* — 116. σχήσοι *B*: σχήσει *D* — 117. οὕτω *B*: οὕτως *D* — 119. ἀγαγέσθαι coni. Naber —

*παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν*
*ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. πολλὰ μὲν κεῖνοι δίκον*
*φύλλ' ἔπι καὶ στεφάνους,*
*πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.*

---

122. *χερὶ χερὸς D* — 123. *μὲν* coni. Boeckh: *μιν BD* — 125. *νίκας BD: νικᾶν V.*

ΠΥΘΙΟΝ. Ι′.

# ΙΠΠΟΚΛΕΑι ΘΕΣΣΑΛΩι

## ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩι

Pyth. 22 = 502 (498) a. Ch.

---

### Strophae.

– ⏓ –⏑ ⏑ – ⏓|
⏑ – ⏓ –⏑ ⏑ – ⏑ – –|⏑ ⏑ – – ⏑ ⏓|
⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏓ –⏑ ⏑ – ⏓|
⏑ – –⏑ ⏑ – ⏓|–⏑ ⏑ – – ⏑ –⏑|⏑ – – ⏑ – ⏑ ⏓|
⏑ – – ⏑ – ⏑ –⏑ ⏑ –|⏑ – ⏓
⏑⏑–⏑ ⏑ – ⏑ –|⏓ – ⏑ – ⏑ ⏓|

### Epodi.

⏓ –⏑ ⏑ – –|⏓ –⏑ ⏑ – ⏑ ⏓
–⏑ ⏑ – ⏓|
⏓ – ⏑ –⏑ ⏑ – –|⏑ ⏑ – – ⏑ ⏓|
– – ⏑ –⏑ ⏑ – – ⏑ ⏓|
– – ⏑ –⏑ ⏑ – ⏑ – ⏓|
⏓ – ⏑ – ⏑ –⏑ ⏑|– ⏑ – – ⏑ ⏓|

Ὀλβία Λακεδαίμων· *Στρ. α′.*
μάκαιρα Θεσσαλία· πατρὸς
δ᾽ ἀμφοτέραις ἐξ ἑνὸς

---

1. *λακεδαίμων* $B^1$, *λακεδαῖμον* $B^s$ D —

*ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.*
*τί κομπέω παρὰ καιρόν; ἀλλά με Πυ-*
*θώ τε καὶ τὸ Πελιν-ναῖον ἀπύει*
*Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες*
*ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.*

*γεύεται γὰρ ἀέθλων·* *Ἀντ. α'.*
*στρατῷ τ' ἀμφικτιόνων ὁ Παρ-*
*νάσιος αὐ-τὸν μυχὸς*
*διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.*
*Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρ-*
*χά τε δαίμονος ὀρ-νύντος αὔξεται·*
*ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ' ἔπραξεν·*
*τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρός,*

*Ὀλυμπιονί-κα δὶς ἐν πολεμαδόκοις* *Ἐπ. α'.*
*Ἄρεος ὅπλοις·*
*θῆκεν δὲ καὶ βαθυλεί-*
*μων ὑπὸ Κίρ-ρας ἀγὼν*
*πέτραν κρατησίποδα - Φρικίαν.*
*ἕσποιτο μοῖρα καὶ ὑστέραισιν*
*ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀν-θεῖν σφίσιν.*

---

3. *Ἀριστομάχου* Heyne — 4. *τί; κομπέω παρὰ καιρόν;* interpunxit Mommsen — *παρὰ*: *κατὰ* schol. — *πελιναῖον D*, *παλινν. B*[1] — *ἀπύει* ex *ἀπύειν* corr. *D* — 5. *ἱπποκλέα B D* — 6. *ἀνδρῶν* codd.: *νέων* coni. Schmid — 8. *ἀμφικτυ.* codd.; *στρατῷ περικτιόνων θ'* coni. Hermann — *παρνάσιος D*: *παρνάσσιος B* — 9. *-δρόμων* $B^{pc}$, *-δρομᾶν* $B^{ac}$ — 11. *τεοῖς γε* Mosch.: *τεοῖσί τε B D* — 15. *θῆκεν δὲ καὶ* Boeckh: *ἔθηκε καὶ* codd. — *βαθυλείμων D*: *βαθυλείμωνα B* et schol. — *ὑπὸ Κίρρας ἀγὼν* Tricl.: *ἀγὼν ὑπὸ Κίρρας B D* — *πέτραν* codd.: *πέτρας* coni. Hartung; fort. *βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν ἀγών* — 17. *ἕσποιτο* Mosch.: *ἕποιτο* B D —

*τῶν δ' ἐν Ἑλλάδι τερπνῶν* Στρ. β'.
*λαχόντες οὐκ ὀλίγαν δόσιν,*
*μὴ φθονεραῖς ἐκ - θεῶν*
*μετατροπίαις ἐπικύρσαιεν. θεὸς αἰεὶ*
*ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμ-*
*νητὸς οὗτος ἀνὴρ - γίνεται σοφοῖς,*
*ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις*
*τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,*

*καὶ ζώων ἔτι νεαρὸν* Ἀντ. β'.
*κατ' αἶσαν υἱὸν ἴδῃ τυχόν-*
*τα στεφάνων - Πυθίων.*
*ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ·*
*ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις*
*ἁπτόμεσθα, περαί-νει πρὸς ἔσχατον*
*πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις*
*ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.*

*παρ' οἷς ποτε Περ-σεὺς ἐδαίσατο λαγέτας,* Ἐπ. β'.
*δώματ' ἐσελθών,*
*κλειτὰς ὄνων ἑκατόμ-*
*βας ἐπιτόσ-σαις θεῷ*
*ῥέζοντας· ὧν θαλίαις - ἔμπεδον*

---

21. *αἰεὶ* coni. Schneidewin: *εἴη* codd. et schol., *οἷος* coni. Hermann — 24. *ἕλῃ*: *ὅλῃ* $B^1$ — 26. *ἴδῃ* ed. Rom. cum scholiis: *ἴδοι* *B D* — 27. *οὔ ποτ'* *B D*: *οὔ πως* coni. Hermann, *οὐ ποτάμβατος* Bergk — *αὐτῷ* Tricl. et alterum scholium: *αὐτοῖς* *B D* et prius scholium — 28. *βροτὸν* coni. Schmid: *βρότεον* *B D* — *ἁπτόμεσθα* Tricl.: *ἁπτόμεθα* *B D* — 29. *ἔσχατον· πλέων ναυσὶ* coni. Jurenka — *ἂν* om. *B D*, add. Mosch., *κεν* Hermann, *τάχ'* ex scholiis Bergk — 30. ἐς om. D — θαυματὰν coni. Schmid: *θαυμαστὰν* codd. — 32. δώματ' ἐλθ. D —

εὐφαμίαις τε μάλιστ᾽ Ἀπόλλων
χαίρει, γελᾷ θ᾽ ὁρῶν ὕβριν ὀρθίαν - κνωδάλων.

Μοῖσα δ᾽ οὐκ ἀποδαμεῖ — Στρ. γ΄.
τρόποις ἐπὶ σφετέροισι· παν-
τᾷ δὲ χοροὶ - παρθένων
λυρᾶν τε βοαὶ καναχαί τ᾽ αὐλῶν δονέονται·
δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδή-
σαντες εἰλαπινά-ζοισιν εὐφρόνως.
νόσοι δ᾽ οὔτε γῆρας οὐλόμενον κέκραται
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ

οἰκέοισι φυγόντες — Ἀντ. γ΄.
ὑπέρδικον Νέμεσιν. θρασεί-
ᾳ δὲ πνέων - καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ᾽ Ἀθάνα,
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφ-
νέν τε Γοργόνα, καὶ - ποικίλον κάρα
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι

θεῶν τελεσάν-των οὐδέν ποτε φαίνεται — Ἐπ. γ΄.
ἔμμεν ἄπιστον.
κώπαν σχάσον, ταχὺ δ᾽ ἄγ-
κυραν ἔρει-σον χθονὶ
πρῴραθε, χοιράδος ἄλ-καρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ᾽ ἄλλοτ᾽ ἄλλον ὦτε μέλισσα θύ-νει λόγον.

---

35. εὐφαμίας *D* — 36. γελᾷ *B*: γαλᾶ *D* — ὀρθιᾶν *BD* — 38. δρόποις coni. Bergk — δὲ χοροὶ τὲ *D* — 48. θαυματὰ coni. Hermann — 52. πρώραθε codd. — ἀλκὰν *D* — 54. ὦτε *GI*: ὥστε *BDE* —

ἔλπομαι δ' Ἐφυραίων Στρ. δ'.
ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖ-
αν προχεόν-των ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἅ-
λιξι θησέμεν ἐν - καὶ παλαιτέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρως ὑπέκνιξε φρένας·

τῶν δ' ἕκαστος ὀρούει, Ἀντ. δ'.
τυχών κεν ἁρπαλέαν σχέθοι
φροντίδα τὰν - παρ ποδός·
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανέι Θώ-
ρακος, ὅσπερ ἐμὰν - ποιπνύων χάριν
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετρᾴορον,
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.

πειρῶντι δὲ καὶ - χρυσὸς ἐν βασάνῳ πρέπει Ἐπ. δ'.
καὶ νόος ὀρθός.
ἀδελφεούς τε μέγ' αἰ-
νήσομεν ἐσ-λούς, ὅτι
ὑψοῦ φέροντι νόμον - Θεσσαλῶν
αὔξοντες· ἐν δ' ἀγαθοῖσι κεῖνται
πατρώιαι κεδναὶ πολίων κυβερ-νάσιες.

---

57. *Ἱπποκλέαν F*: *ἱπποκλέα BD*, *τὸν Ἱπποκλέα* Hermann, *Ἱπποκλέα ποτε* Kayser — 58. *ἐν καὶ* Tricl.: *ἔν τε καὶ B*[1] *ἐν τε B*[2] *D*, *ἔν τ' αὖ* Heyne — *παλαιοτ. D* — 60. *ἑτέροις* lemma in *V*: *ἑτέροισιν B D* — *ὑπέκνιξε* ex scholiis Hermann: *ἔκνιξε* (-*ξε̄ B*) *BD*, *ἔκνιξέ γε* Mosch., *ἔκνιξε τὰς* Tricl. — 61. *ὀρούῃ* mavult Bergk — 69. *ἀδελφεοὺς B D*: *κἀδελφεοὺς* Tricl. — *τε μέγ' αἰν.* scripsi: *τ' ἐπαιν. B D*, *μὲν ἐπαιν.* Hermann, *ἐπί τ' αἰν.* Bergk — 71. *ἐν δ' B D*, *ἔνθ' U* Mommsen — *κεῖνται B*: *κεῖται D et schol.*

ΠΥΘΙΟΝ. ΙΑʹ.

# ΘΡΑΣΥΔΑΙΩι ΘΗΒΑΙΩι

ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

Pyth. 28 = 478 (474) a. Ch.

---

Strophae.



Epodi.



Στρ. αʹ.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυι-ᾶτις,
Ἰνὼ δὲ Λευκοθέα
ποντιᾶν ὁμοθάλαμε Νη-ρηΐδων,

---

1. fort. ἀγυιᾶτι — 2. δὲ *B D*: τε Boeckh — Νηρηΐδων *Byz.*: νηρεΐδων *B D* —

*ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ*
*ματρὶ πὰρ Μελίαν*
*χρυσέων ἐς ἄδυτον τριπόδων*
*θησαυρόν, ὃν περίαλλ' ἐτί-μασε Λοξίας,*

*Ἀντ. α'.*

*Ἰσμήνειον δ' ὀνύμαξεν, ἀλαθέα μαντείων-θῶκον·*
*ὦ παῖδες Ἁρμονίας,*
*ἔνθα καί νυν ἐπίνομον ἡ-ρωίδων*
*στρατὸν ὁμαγυρέα καλεῖ συνίμεν,*
*ὄφρα Θέμιν ἱερὰν*
*Πυθῶνά τε καὶ ὀρθοδίκαν*
*γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκ-ρᾳ σὺν ἑσπέρᾳ,*

*ἑπταπύλοισι Θήβαις* *Ἐπ. α'.*
*χάριν ἀγῶνί τε Κίρρας,*
*ἐν τῷ Θρασυδαῖος ἄμ-νασεν ἑστίαν*
*τρίτον ἔπι στέφανον πατρῷ-αν βαλών,*
*ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα*
*νικῶν ξένου Λάκωνος Ὀρέστα.*

*Στρ. β'.*

*τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμ-νήστρας*
*χειρῶν ὕπο κρατερᾶν*
*ἐκ δόλου τροφὸς ἄνελε δυσ-πενθέος,*

---

3. *ἀριστογόνῳ* (-ω *D*) *B D*, *ἀριστογόνου*, quod scholia interpretantur, praetulit Mommsen — 4. *ἐς* Tricl.: *εἰς B D* — 6. *Ἰσμήνιον BD* — *ἀλαθεία D* — *μαντείων BD*: *μαντίων* Hermann — 8. *ὁμήγυρ. D*, *ὁμηγερ. B* — *συνίμεν B* et schol.: *συνέμεν D* — 10. *κελαδήσετ'* coni. Heyne: *κελαδῆτε* codd., *κελαδῆτον* Bergk, coniecturae receptae favet paraphrasis *ὑμνήσητε* — 13. *ἄμνασεν* ex scholiis Kayser: *ἔμνασε* codd., *ἔμνασέ μ'* Hermann — *ἑστιᾶν . . . πατρῳᾶν* coni. Rauchenstein probabiliter — *ἔπι* Hermann: *ἐπὶ* codd. — 16. *νικᾶν* coni. Hermann — 17. *Κλυταιμνήστρας* non *Κλυταιμήστρας* B D — 18. χειρῶν

ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ
χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ πόρευσ' Ἀχέροντος ἀκ-τὰν παρ' εὔσκιον

Ἀντ. β'.

νηλὴς γυνά. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐ-ρίπῳ
σφαχθεῖσα τῆλε πάτρας
ἔκνισεν βαρυπάλαμον ὄρ-σαι χόλον;
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
ἔννυχοι πάραγον
κοῖται; τὸ δὲ νέαις ἀλόχοις
ἔχθιστον ἀμβλακιῶν καλύψ-αι τ' ἀμάχανον

ἀλλοτρίαισι γλώσσαις· Ἐπ. β'.
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ-μείονα φθόνον·
ὁ δὲ χαμηλὰ πνέων ἄφαν-τον βρέμει.
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,

Στρ. γ'.

μάντιν τ' ὄλεσσε κόραν, ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρω-θέντων
Τρώων ἔλυσε δόμους
ἁβρότατος. ὁ δ' ἄρα γέρον-τα ξένον

---

Schmid: χερῶν codd. — καρτ. B — ἐκ: κὴκ (κἀκ Gildersleeve) Bergk — 20. κασάνδρ. B, -δρα D — 23. χόλον B D: λόχον V — 24. δαμαζ. B: δαμαλιζ. D, θαμιζ. coni. M. Schmidt — 25. ἐννύχιοι B — 26. αἴσχιστον coni. Hecker — ἀμπλακιῶν (vel -ιᾶν) coni. Hecker: ἀμπλάκιον (ἀμβλ. B) codd. — 29. κἴσχει μέγας coni. Hartung — 30. ἄφαντος D — βρύει coni. Hartung — 32. κλυταῖς F: κλειταῖς B D — 34. ἔλυσε: ἔπαυσε coni. Herwerden — γέροντα ξένον Tricl.: ξένον γέροντα B D —

*Στρόφιον ἐξίκετο νέᾳ κεφαλᾷ,*
*Παρνασσοῦ πόδα ναί-*
*οντ᾽· ἀλλὰ χρονίῳ σὺν Ἄρει*
*πέφνεν τε ματέρα θῆκέ τ᾽ Αἴ-γισθον ἐν φοναῖς.*

*Ἀντ. γ΄.*

*Ἦ ῥ᾽, ὦ φίλοι, κατ᾽ ἀμευσίπορον τρίοδον ἐδι-νάθην,*
*ὀρθὰν κέλευθον ἰὼν*
*τοπρίν· ἤ μέ τις ἄνεμος ἔ-ξω πλόου*
*ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον εἰναλίαν.*
*Μοῖσα, τὸ δὲ τεόν, εἰ*
*μισθοῖο συνέθευ παρέχειν*
*φωνὰν ὑπάργυρον, ἄλλοτ᾽ ἄλ-λᾳ ταρασσέμεν,*

*ἢ πατρὶ Πυθονίκῳ* *Ἐπ. γ΄.*
*τό γέ νυν ἢ Θρασυδαίῳ·*
*τῶν εὐφροσύνα τε καὶ - δόξ᾽ ἐπιφλέγει.*
*τὰ μὲν ἐν ἅρμασι καλλίνι-κοι πάλαι*
*Ὀλυμπίᾳ γ᾽ ἀγώνων πολυφάτων*
*ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·*

---

35. *νέα κεφαλά* Heyne — 36. *χρονίῳ* Tricl.: *χρόνῳ* *B D* — 37. *πέφνεν τε* Mosch: *ἔπεφνε* (sine *τε*) *B D* — 38. *φίλοι* *B D*: *φίλη* *P*, unde *φίλα* Bornemann — *ἀμευσιπόρους τριόδους* coni. Hermann — *ἐδινάθην* *D*: *ἐδινήθην* *B*; cf. I. v 6 — 40. *ἐναλ.* *B D* — 41. *δὲ τεὸν* Mosch.: *δ᾽ ἐτεὸν* *B D* — *μισθοῖο* scripsi: *μισθῶ* *B D*, *μισθὸν σὺ* Bornemann; genetivum interpretantur scholia — *συνέθευ παρέχειν* codd.: *μισθῷ παρεχέμεν συνέθευ* Hermann — 42. *ἄλλᾳ* *G* Heyne: *ἄλλα χρή* codd, *χρὴ* non legebant scholia — *χαρασσέμεν* coni. Bergk, *παρασσέμεν* Jurenka — 43. *πυθονίκῳ* Tricl.: *πυθιονίκῳ* *B*, *πυθιονίκων* *D*, *Πυθόνικον* coni. Bornemann — 46. *τὰ μὲν ἐν* Tricl.: *τὰ μὲν* (sine *ἐν*) *B D* — 47. *Ὀλυμπίᾳ γ᾽* coni. Ahlwardt: *ὀλυμπίᾳ τ᾽* *B D*, *τ᾽* eiec. Pauw, *Ὀλυμπίας* coni. Schmid coll. O. I 7, *ὀλυμπίαν* Boeckh — *πολυφάτων* *D B*[s]: *πολύφατον* *B*[1] — 48. *θοὰν*: *θοαῖς* coni. Hartung —

Στρ. δ'.

*Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤ-λεγξαν*
*Ἑλλανίδα στρατιὰν*
*ὠκύτατι. θεόθεν ἐραί-μαν καλῶν,*
*δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.*
*τῶν γὰρ ἂν πόλιν εὑ-*
*ρίσκων τὰ μέσα μάσσονι σὺν*
*ὄλβῳ τεθαλότα, μέμφομ' αἶ-σαν τυραννίδων·*

Ἀντ. δ'.

*ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι· φθονεροὶ δ' ἀμύνονται*
*ἆται, εἴ τις ἄκρον ἑλὼν*
*ἡσυχᾷ τε νεμόμενος αἰ-νὰν ὕβριν*
*ἀπέφυγεν, μέλανα δ' ἀν' ἐσχατιὰν*
*κάλλιπεν θανάτοἰ*
*αἶσαν γλυκυτάταν γενεᾷ,*
*εὐώνυμον κτεάνων κρατίσ-ταν χάριν πορών·*

Ἐπ. δ'.

*ἅ τε τὸν Ἰφικλείδαν*
*διαφέρει Ἰόλαον*

---

49. *τε*] *δὲ* Pauw paraphrasin secutus — *γυμνοὶ* *P Q* — 51. *ἁλικίᾳ*: *εὐδικίᾳ* coni. Hecker — 52. *ἂμ* Hermann: *ἀνὰ* *B D* — *μακροτέρῳ* (*μακροτάτῳ* *D* et schol.) *σὺν ὄλβῳ* *B D*, *σὺν* eiec. Tricl., *μάσσονι σὺν* coni. Bergk probabiliter — 54. *ἀμύνονται ἆται, εἰ* Hermann: *ἀμύνοντ' ἄτα* (*ἄτᾳ* schol.), *εἰ* codd. et schol., *ἀμύνονται ῥᾷστ', εἰ* coni. Leop. Schmidt; nominis *ἆται* altera syllaba cum *εἰ* coalescit — 55. *ἀσυχᾶ* (*ἡσ.* Mommsen) coni. Hermann: *ἡσυχίᾳ* *B D* — 56. *μέλανα δ'* coni. Hermann: *μέλανος δ'* codd., *μέλανος* Schmid — 57. *κάλλιπεν θανάτοἰ αἶσαν* scripsi dubitanter: *καλλίονα θανάτου ἐν* (*εσχεν ἐν* *D*) *B D* — *γλυκυτάταν* coni. Bornemann: *γλυκυτάτᾳ* codd.; *μόρον ὅδ' ἀν' ἐσχατιὰν καλλίονα βιοτᾶς ἔσχεν* coni. Kayser, *μέλανος ὁ δ' ἐσχατιὰν καλλίονα θανάτου τέτμεν* coni. Bergk — 58. *κράτιστον* $B^{i}$, *κρατίσταν* $B^{s}$ *D* —

*ὑμνητὸν ἐόντα, καὶ - Κάστορος βίαν,*
*σέ τε, ϝάναξ Πολύδευκες, υἱ-οὶ θεῶν,*
*τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,*
*τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.*

---

62. *υἱοὺς* maluit Pauw — 64. *ἐντὸς* coni. Hecker.

# ΜΙΔᾼ ΑΚΡΑΓΑΝΤΙΝῼ

## ΑΥΛΗΤῌ

Pyth. 24 = 494 (490) a. Ch.

---

Strophae.

– –́ ⏑⏑ – ⏑⏑ –́ | – –́ ⏑⏑ – ⏑⏑ ⏓́ |
–́ ⏑⏑ – ⏑⏑ –́, | – –́ ⏑⏑ – ⏑⏑ –́ |
– –́ ⏑⏑ – ⏑⏑ –́ | – –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́ | – –́ ⏑⏑ – ⏑⏑ ⏓́ |
– –́ ⏑⏑ – ⏑⏑ –́ | – –́ ⏑ – – –́ ⏑ ⏓ |
– –́ ⏑⏑ – ⏑⏑ –́ – | –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́ – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – |

Στρ. α'.

Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ τ' ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν, ὦ ϝάνα·
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενείᾳ
δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,

---

3. ὦ om. *D* — 5. εὐδόξῳ μίδᾳ *B*: εὐδόξω μίδα *D*, εὐδόξου *μίδα E* —

*αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε*
*Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων*
*οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·*

*Στρ. β'.*

*τὸν παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς*
*ἄιε λειβόμενον δυσπενθέι σὺν καμάτῳ,*
*Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,*
*εἰναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.*
*ἦτοι τό τε θεσπέσιον Φόρκοιο μαύρωσεν γένος,*
*λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον*
*δουλοσύναν τό τ' ἀναγκαῖον λέχος,*
*εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας*

*Στρ. γ'.*

*υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου*
*ἔμμεναι. ἀλλ' ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων*
*ἐρρύσατο παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,*
*ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων*
*χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον·*
*εὗρεν θεός· ἀλλά νιν εὑροῖσ' ἀνδράσι θνατοῖς ἔχειν,*
*ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον,*
*εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων,*

---

7. *γοργόνων* *QR* et schol.: om. *BD* — 8. *διαπλέξασθ' ἀθ //// τὸν D* — 9. *ὀφίων* om. $D^{ac}$ — 10. *ἄ . ιε D* — 11. *ἄνυσσεν* Boeckh: *ἄυσεν* (-*σε B*) *BD*, *ἄνυσεν* et *ἄυσε* schol., *ἄιξεν* coni. Kaibel — 12. *ἐναλίᾳ BD* — *σερίφῳ* (sine *τε*) *BD*: *τε· πέτρα* coni. Hermann[3], *τε Σερίφῳ* Boeckh, *Ϝὲ Σερίφῳ* Mommsen — *λαοῖσι* Boeckh, *λᾶσι* Boehmer, *τοῖσι* Hermann[2] — 13. *φόρκοι' ἀμαύρωσε BD*: *Φόρκοιο μαύρωσεν* Hermann — 16. *εὐπαράον D* — *συλήσ. BD* — 17. *αὐτορρύτου BD* — 19. *αὐλᾶν* $D^{ac}$ — 21. *ἐρικλάγηταν* (?) *D* — 23. *ὠνόμ. BD* — 24. λαοσσόον Mosch. —

Στρ. δ'.

λεπτοῦ διανισσόμενον χαλκοῦ θ' ἅμα καὶ δονάκων,
τοὶ παρὰ καλλίχορον ναίοισι πόλιν Χαρίτων,
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤ τοι σάμερον
δαίμων· τὸ δὲ μόρσιμον οὐ παρφυκτόν· ἀλλ' ἔσται χρόνος
οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω.

---

25. διανισόμ. *BD* — θαμὰ *BD* — 26. καλλίχορον ναίοισι πόλιν em. Hermann: καλλιχόρῳ *BD* (syll. paenultima in lit. *D*); ναίοισι *B*, ναίουσι *D*; πόλιν *BD*: πόλει V Mosch. — 27. καφισσίδ. *D* — χορευταὶ *B* — 29. τελεύσει *D* — νιν ἤτοι codd. schol.: νέωτ' ἤ tentavit Mommsen, νιν, ἤτοι σάμερον Buecheler; τελεύτασεν, Μίδα, τοι σάμερον Kaibel — 30. τό γέ *BD*, τὸ δὲ *Q* et scholia — 30 sq. ἔσται χρόνῳ, ἤ ὄγε coni. Schroeder — 31. ἀελπτία *D*, ἀελπία *B*, unde ἀελπείᾳ coni. Mommsen.

# ΝΕΜΕΟΝΙΚΑΙΣ.

## Α'.

# ΧΡΟΜΙῼ

ΙΠΠΟΙΣ

473 (aut 471) a. Ch.

---

Strophae.

– –́ ⏑ – ⏓ –́ ⏑ ⏓|
– –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓|
–́ ⏖ – ⏖ ⏓́|
– –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓|
–́ ⏑ – – –́ ⏑ ⏓|
–́ ⏖ – ⏖ –́ ⏖ – –|–́ ⏑ – – –́ ⏑ ⏓|
–́ ⏑ – – –́ ⏖ – ⏖ –| –́ ⏑ – – –́ ⏑ –|–
–́ ⏑ – – –́ ⏑ ⏓|

Epodi.

⏖́ ⏑ – – –́ ⏑ – –|–́ ⏖ – ⏖ ⏓, –́ ⏑ ⏓|
–́ ⏖ – ⏖ –́|⏖ – – –́ ⏑ – – –́ ⏑ ⏓|
–́ ⏑ – – –́ ⏖ – ⏖ –́|⏖ – – –́ ⏑ – –|–́ ⏑ ⏓
– –́ ⏑ – –́ ⏖ –,| –́ ⏑ – – –́ ⏑ ⏓|

*Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,* *Στρ. α'.*
*κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,*

δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα, σέθεν ἀδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα τ'
ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.

ἀρχαὶ δὲ βέβληνται θεῶν 'Αντ. α'.
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ-
σέν τέ ϝοι χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς

Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων 'Επ. α'.
ἀφνεαῖς.
ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά ϝοι χαλκεντέος
λαὸν ἵππαιχμον, θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις
ἐλαιᾶν χρυσέοις
μιχθέντα. πολ-λῶν ἐπέβαν
καιρὸν οὐ ψεύδει βαλών.

---

4. *κασιγνήταν* lemma in *D*, unde *κασίγνητον* coni. Bornemann — 7. *θ' ἔργμασι* $D^{ac}$, *θ' ἔργμασι* $D^{pc}$, *θ' ἔρμασι B* — 8. *θεῶν*: *θεῷ* coni. Davisius; *βέβληντ' ἐκ θεῶν* coni. Mingarelli — 11. *μεγάλων B*: *μεγίστων D* — 13. *σπεῖρε* ex paraphrasi restituit Beck: *ἔγειρε B D* — 16. *χαλκεντείος* ex corr. *B* — 17. *ὑπαιχμόν D* — *θαμὰ B*: *θ' ἅμα* $D^{ac}$, utrumque *agnoscunt* scholia — *χρυσέοις* Tricl.: *χρυσέοισι BD* —

*ἔσταν δ' ἐπ' αὐλείαις θύραις* Στρ. β'.
*ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,*
*ἔνθα μοι ἁρμόδιον*
*δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν*
*οὐκ ἀπείρατοι δόμοι*
*ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν*
*ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι·*
*χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.*

*πράσσει γὰρ ἔργῳ μὲν σθένος,* Ἀντ. β'.
*βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν,*
*συγγενὲς οἷς ἕπεται.*
*Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ*
*τῶν τε καὶ τῶν χρήσιες.*
*οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν,*
*ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ-*
*σαι φίλοις ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες*

Ἐπ. β'.
*πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως,*
*ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον,*
*ὡς ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς*

---

24. *ἐσλοὺς* Tricl.: *ἐσλὸς* *B D* quod ex antiqua scriptura *ΕΣΛΟΣ* pro *ἐσλώς* = *ἐσλούς*, remansisse scite monuit in scholiis Aristarchus — 25. *δ' ἐν*: *δέ μ'* olim conieceram — 31. *ἔραμαι* codd. et schol.: *ἔρασαι* coni. Mingarelli acute — 35. *ὡς ἐπεὶ* . . . 37. *ὡς οὐ* coni. Boeckh: ὡς ἐπεὶ . . . ὥς τ' οὐ codd. *neque aliter* schol., *τόνδ'* ὅπως . . . ὥς τ' οὐ coni. Beck.

ὠδῖνα φεύ-γων διδύμῳ
  σὺν κασιγνήτῳ μόλεν,

ὡς οὐ λαθὼν χρυσόθρονον                    Στρ. γ'.
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
ἀλλὰ θεῶν βασίλεα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρ-
  θὸν μὲν ἄντεινεν κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,

δισσαῖσι δοιοὺς αὐχένων                    Ἀντ. γ'.
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει·
καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρού-
  σαισ' ἀπὸ στρωμνᾶς, δμῶς ἄμυνεν ὕβριν κνωδάλων.

Ἐπ. γ'.
ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἔδραμον σὺν ὅπλοις
  ἀθρόοι·

---

ὡς ἄρα . . . ὥς τ' οὐ vel ὡς ἐπεὶ . . . οὔτοι Hermann, ὡς ἐπεὶ . . . ὤπ' οὐ λαθὼν χρυσοθρόνοι' Ἥρας Ahrens — 39. βασίλεα Heyne: βασίλεια codd., βασιλὶς coni. Schmid — 43. ἄντεινε lemma in *B*: ἀνέτεινε *BD* — 45. ἀφίκτοις *D* — 46. ἀγχομένας *D* — χρόνος] χρόμος coni. M. Schmidt, χάνος Herwerden; ἀγχόμενοι δὲ χρόνῳ ψυχὰς ἀπέπνευσαν Benedictus — 48. δέος *BD*: βέλος $V^{ac}$ X, ἄτλατος θέα coni. Jurenka — 50. δμῶς codd.: ὅμως Boeckh — 51. ἔδραμον σὺν ὅπλοις ἀθρόοι coni. Bergk: σὺν

*ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φά-*
*σγανον*
*ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει*
*πάνθ' ὁμῶς·*
*εὐθὺς δ' ἀπή-μων κραδία*
*κᾶδος ἀμφ' ἀλλότριον.*

*ἔστα δὲ θάμβει δυσφόρῳ* — *Στρ. δ'.*
*τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον*
*λῆμά τε καὶ δύναμιν*
*υἱοῦ· παλίγγλωσσον δέ ϝοι ἀθάνατοι*
*ἀγγέλων ῥῆσιν θέσαν.*
*γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον,*
*ὀρθόμαντιν Τειρεσίαν· ὁ δὲ ϝοῖ*
*φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις,*

*ὅσσους μὲν ἐν χέρσῳ κτανών,* — *Ἀντ. δ'.*
*ὅσσους δὲ πόντῳ θῆρας αἰδροδίκας·*
*καί τινα σὺν πλαγίῳ*
*ἀνδρῶν κόρῳ στείχοντα τῷ ἐχθροτάτῳ*
*φᾶσέ νιν δώσειν μόρῳ.*
*καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν*
*μάχαν*

---

*ὅπλοις ἔδραμον ἀθρόοι* *BD*, *ἀθρόοι σὺν ὅπλοις ἔδραμον* coni. Hermann — 52. *φάσγανον* om. *BD*, add. Mosch.; *ξίφος ἐκτινάσσων* Tricl. — 54. *κραδία* coni. Schmid: *καρδία* *BD* — 60. *ἐκκάλεσεν* Tricl.: *ἐκάλεσαν* $B^{ac}$, *ἐκκάλεσαν* $D\ B^{pc}$ (corr. prima manu) — 63. *δ' ἐν* *BD*, *ἐν* eiec. Schmid — 64 sq. *τινα . . . τῷ ἐχθροτάτῳ* (*πανεχθροτάτῳ* Kayser) . . . *μόρῳ* coni. Beck: *τινα . . . τὸν ἐχθρότατον . . . μόρον* *BD* et schol., *τινι . . . στείχοντι τὸν ἐχθρ. . . . μόρον* coni. Hermann; *τὸν ἐχθρότατον φᾶσέ νιν ὤσειν πόρον* Wilamowitz —

*ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-*
*παῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν*

*Ἐπ. δ'.*

*ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον*
*ἐν σχερῷ,*
*ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον*
*ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν*
*καὶ γάμον*
*δαίσαντα, παρ - Δὶ Κρονίδᾳ*
*σεμνὸν αἰνήσειν νόμον.*

---

68. *ἀντιάξωσιν* mavult Bergk — *γαίᾳ* schol.: *γαία B*, *γαῖαν D*, quo probato *φαιδίμᾳ . . . κόμᾳ* scribendum erit, *Γαίᾳ* Hartung; *σφε* (vel *σφι*) *φύρσεσθαι* Bergk — *κόμαν* om. *D* — 69. *ἔνεπ.* Tricl.: *ἔννεπ. B D* — *ἐν σχερῷ* coni. Hermann: *σχερῷ* (*σχέρω D*) *B D* — *καμάτων μεγάλων ἐν σχερῷ ἀσυχίαν τὸν ἅπαντα χρόνον* Boeckh — 72. *Δὶ* Boeckh: *διὶ B D* — *αἰνήσειν D*: *αἰνήσει B* — *νόμον* ex scholiis Pauw: *δόμον B*[1] *D*, *γάμον B*[s], *σταθμόν* coni. Bergk.

NEMEON. B'.

# ΤΙΜΟΔΗΜΩι ΑΘΗΝΑΙΩι

## ΠΑΓΚΡΑΤΙΑΣΤΗι

ca. 455 a. Chr.

---

Strophae.

⏑ –́ –⏑ ⏑ –́ ⏑ ⏓ |
–́ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏓ |
–́ ⏒ –⏑ ⏑ –́ ⏑ – ⏒ | –́⏑ ⏑ – – |
⏑⏑́ ⏑ –⏑ ⏑ –́ ⏑ – –́ | – –⏑ ⏑ –́ ⏑ – –́ | ⏒ –⏑ ⏑ –́ ⏓ |
–́⏑ ⏑ – ⏓ –́⏑ ⏑ – ⏓ |

Ὅθενπερ καὶ Ὁμηρίδαι — *Στρ. α'.*
ῥαπτῶν ἐπέων ταπόλλ' ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώ-
νων νικαφορίας δέδεκ-
ται πρῶτον Νεμεαίου
ἐν πολυυμνήτῳ Διὸς ἄλσει.

---

4. ἱερῶν coni. Schmid: ἱερᾶν *B D* — πρῶτον codd. et schol.: πρώταν susp. Heyne —

ὀφείλει δ' ἔτι, πατρίαν Στρ. β'.
εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς
αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,
θαμὰ μὲν Ἰσθμιάδων δρέπεσ-
θαι κάλλιστον ἄωτον ἐν
Πυθίοισί τε νικᾶν
Τιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς

ὀρειᾶν γε Πελειάδων Στρ. γ'.
μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν
δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκ-
τωρ Αἴαντος ἐπάϊσ'· ὦ
Τιμόδημε, σὲ δ' ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.

Ἀχάρναι δὲ παλαίφατον Στρ. δ'.
εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις,
Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.
παρὰ μὲν ὑψιμέδοντι Παρ-
νασσῷ τέσσαρας ἐξ ἀέθ-
λων νίκας ἐκόμιξαν·
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

---

6. δ' ἔτι V: δέ τι B D — 7. εὐθυπομπὸς V: εὐθύπομπος B, εὐθύποντος D — 8. ἀθάνας D — 9. θαμὰ B D: ἅμα coni. Hartung; cf. N. iv 15 — πυθέοισι D — 10. παῖδα δ' ἔστιν lemma B — 11. ὀρειᾶν BD et schol.: θερειᾶν coniecisse Cratetem testantur scholia — 12. ὠαρίων' ἀνεῖσθαι B D; Ὠαρίωνα νεῖσθαι Athen. xi p. 490 f. — 14. ἐπάϊσ' coni. Bergk: ἄκουσεν codd. — 15. τλάθυμος B: θυμὸς D — 16. παλαίφατον BD, παλαίφατοι ex novicio codice Boeckh — 19. παρὰ Tricl.: πὰρ BD — παρνασσῷ BD — 21. πύλαις coni. Hecker: πτυχαῖς codd. et schol. —

ἐν ἐσλοῦ Πέλοπος πύλαις Στρ. ε'.
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
ἑπτὰ δ' ἐν Νεμέᾳ, τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ,
Διὸς ἀγῶνι. τόν, ὦ πολῖ-
ται, κωμάξατε Τιμοδή-
μου σὺν εὐκλέϊ νόστῳ·
ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

---

23. *ἀριθμοῦ B*[1]: *ἀριθμῷ D, ἀριθμῷ B*[s] — 24. *ἀριθμοῦ. Διός ἀγῶνι τόδ'* (scil. *τὸ ἐγκώμιον*) coni. Bergk — *εὐκλέϊ: εὐκλεεῖ BD* — *Τιμοδήμου* Tricl., *τιμοδήμῳ BD*.

## NEMEON. Γ'.

# ΑΡΙΣΤΟΚΛΕΙΔΗͺ ΑΙΓΙΝΗΤΗͺ

## ΠΑΓΚΡΑΤΙΑΣΤΗͺ.

ca. 469 a. Ch.

---

### Strophae.

⊥ –⏑ ⏑ ⊥ ⏑ – ⏑| ⊥⏑ ⏑ – ⊥ ⏑ ⏓|
⊥ ⏑ – ⏑ ⊥ ⏑| ⏑⏑ ⏑ ⊥ ⏑ – ⏑⏑ ⏑ ⏓|
⏑⏑ ⏑ –⏑ ⏑ ⊥ ⏑ – ⊥| ⏑ ⏑⏑ ⏑ ⏓
⏑ ⊥ ⏑ – ⊥ ⏑ –| ⏑⏑ ⊥ ⏑ – ⊥ ⏑ ⏓|
⊥ – ⏑ ⊥ ⏑ – ⏑| ⏑⏑ ⏑ –⏑ ⏑ ⏓|
– ⊥ ⏑ – ⏒ ⊥⏑ ⏑ – ⏓|
– ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –| ⏑ ⏓|
⏑⏑ –⏑ ⏑ ⊥ ⏑| – ⏑ ⊥ ⏑ – ⏑ ⊥ ⏓|

### Epodi.

⊥⏑ ⏑ – ⏑ ⊥⏑| ⏑ – ⏒ ⊥ ⏑ – –|
⏑ ⊥⏑⏑ ⏑ – ⏑ ⊥| ⏑ ⏑⏑ ⏑ ⊥⏑ ⏑ –,| ⏑ ⊥ ⏑ – ⊥ ⏑ ⏓|
– ⏑ –⏑ ⏑| – – ⏑ –⏑ ⏑ – –|
–⏑ ⏑ – ⏑ – ⏑ –⏑ ⏑ – – ⏑ –⏑ ⏑ –, – ⏑ ⏑⏑ ⏑ ⏓|
⏑⏑ –⏑ ⏑ ⊥ ⏑ –, ⏑ ⏑ –⏑ ⏑ ⊥ ⏑ – ⊥ ⏑ ⏓|

*Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, - λίσσομαι,* *Στρ. α'.*
*τὰν πολυξέναν ἐν ἱερομηνίᾳ - Νεμεάδι*

---

1. *ὦ* om. *B* — 2. πολυξείν. B D —

*ἵκεο Δωρίδα νᾶσον Αἴ-γιναν. ὕδατι γὰρ*
*μένοντ' ἐπ' Ἀ-σωπίῳ μελιγαρύων - τέκτονες*
*κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.*
*διψῆ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·*
*ἀεθλονικία δὲ μάλιστ' ἀοι-δὰν φιλεῖ,*
*στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.*

*τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἁ-μᾶς ἄπο·* Αντ. α'.
*ἄρχε δ', οὐρανοῦ πολυνεφέλα κρέον-τι θύγατερ,*
*δόκιμον ὕμνον· ἐγὼ δὲ κεί-νων τέ νιν ὀάροις*
*λύρᾳ τε κοι-νάσομαι. χαρίεντα δ' ἕ-ξει πόνον*
*χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι*
*ᾤκησαν, ὧν παλαίφατον ἀλκὰν*
*οὐκ ἐλεγχέεσσιν Ἀριστοκλεί-δας ϝεὰν*
*ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς*

*παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν* Επ. α'.
*ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ*
*τὸ καλλίνι-κον φέρει.*
*εἰ δ' ἐὼν καλὸς ἔρ-δων τ' ἐοικότα μορφᾷ*
*ἀνορέαις ὑπερτάταις ἐπέβα*
*παῖς Ἀριστοφάνευς, - οὐκέτι προτέρω*

---

3. *γὰρ* om. *D* — 4. *μὴ γαρύων* *D* — 5. *γέθεν* *D* — 6. *πρῶτος* *D* — 7. *μάλλιστ'* *D* — 9. *ἀκᾶς* *D* — 10. *οὐρανοῦ πολυνεφέλα* ex sententia Didymi Boeckh: *οὐρανῷ πολυνεφέλα* *BD*, *οὐρανῷ πολυνεφέλᾳ* Aristarchus et Ammonius; dativum agnoscit etiam schol. Eur. Hec. 685; schol. Pind.: *οὐρανῷ αἰολικῶς ἀντὶ τοῦ οὐρανοῦ* — *πολυνεφέλα* an *πολυνεφέλᾳ* scribas dubitare possis — 12. *κοινάσομαι* coni. Boeckh: *κοινώσομαι* codd., *κοινῶς ᾄσομαι* paraphr., unde *κοίν' ἀείσομαι* Bergk — *ἕξεις* coni. Rauchenstein — 13. *πρότερον* lemma in *D* — 14. *ἀλκὰν* (vel *ὁρμὰν*) coni. Rauchenstein: *ἀγορὰν* codd. et schol., *ἕδραν* coni. Kayser — 15. *ἐὰν* Pauw: *τεὰν* *BD* — 18. νεμέαν D — *φέρειν* ex schol. coni. Bergk — 20. Ἀριστοφάνευς V X: Ἀριστο-

ἀβάταν ἅλα κιόνων
ὑπὲρ Ἡρακλέος περᾶν - εὐμαρές,

ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας - ἐσχάτας Στρ. β'.
μάρτυρας κλυτᾶς· δάμασε δὲ θῆρας ἐν - πελάγει
ὑπερόχους, διά τ' ἐξερεύ-νασε τεναγέων
ῥοάς, ὅπᾳ - πόμπιμον κατέβαινε νό-στου τέλος,
καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβεαι;
Αἰακῷ σε φαμὶ γένει τε Μοῖ-σαν φέρειν.
ἕπεται δὲ λόγῳ δίκας ἄωτος ἐσλὸς αἰνεῖν·

Ἀντ. β'.
οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν - κρέσσονες.
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσ-μον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαι-αῖσι δ' ἐν ἀρεταῖς
γέγαθε Πη-λεὺς ἄναξ ὑπέραλλον αἰχ-μὰν ταμών·
ὃς καὶ Ἰωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐ-ρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν Ἐπ. β'.

---

φάνους *BD* — προτέρω ex schol. Hermann: πρόσω codd. — 24. ὑπερόχους Mosch.: ὑπέροχος *BD*, ὑπερόχος vel ὑπερόχως schol. — διά τ' ἐξερ. coni. Boeckh: ἰδία τ' ἐρ. *BD*, ἰδίᾳ τ' ἐρ. et διά τ' ἐρ. schol., διά τ' αὖτ' ἐρ. coni. Hermann, σκιδίας τ' ἐρ. coni. M. Schmidt — 25. ὅπα codd. — 26. φράδασε *BD* — 29. ἐσλὸς *D*, ἐσλὸν *B*; schol.: τὸ ἐσλὸς ἀντὶ τοῦ ἐσλοῦς — 30. κρέσονες *D* — 31. μαντ. *D* — ἔλαχες ex scholiis Bergk — 34. μόνος *Byz.*: μοῦνος *BD* — 36. ἐγκονιτὶ mavult Bergk, ἀγκόνησι coni. Matthiae — 37. Ἰόλᾳ *Z*: ἰόλα *BD* — 38. χαλκότοξον *VX*: χαλκοτόξων BD —

ἕπετό ϝοι· οὐδέ μίν ποτε φόβος ἀνδροδάμας
ἔπαυσεν ἀκ-μὰν φρενῶν.
συγγενεῖ δέ τις εὐ-δοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ
ἄλλοτ' ἄλλα πνέων - οὔ ποτ' ἀτρεκέϊ
κατέβα ποδί, μυριᾶν δ'
ἀρετᾶν ἀτελεῖ νόῳ - γεύεται.

Στρ. γ'.

ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας - ἐν δόμοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ϝέργα, χερ-σὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλ-λων ἴσον ἀνέμοις·
μάχᾳ λεόν-τεσσιν ἀγροτέροις ἔπρασ-σεν φόνον,
κάπρους τ' ἔναιρε, σώματα δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντα κόμιζεν·
ἑξέτης τοπρῶτον, ὅλον δ' ἔπειτ' - ἂν χρόνον·
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα

Ἀντ. γ'.

κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' - ἑρκέων·
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦ-το προτέρων

---

39. ἀκμὰν *VX* Mosch.: ἀλκὰν *B D*, αἰχμὰν coni. Heyne — 41. ψεφηνὸς *B D*; Et. M. 818, 33: ψεφενὸς καὶ ψεφηνὸς ἀνήρ· σκοτεινός, οὐκ ἐπιφανής· ψέφος γὰρ τὸ σκότος· φησὶ Πίνδαρος Ἀριστοκλεῖ — ἀτρεμεῖ *D*, ἀτρεμέι Hecker — 43. ἀχιλλεὺς *B D* — 45. ἴσον ἀνέμοις Schmid: ἴσον τ' ἀνέμοισιν *B D*, ἴσα τ' ἀνέμοις Mosch. — 46. μάχᾳ Tricl.: ἐν μάχᾳ *B D*, μάχας (sine φόνον) paraphr.; μάχας λεόντεσσί τ' ἀγρ. ἔπρ. πικράς coni. Rauchenstein, φόνον λε. ἀγρ. ἔπρασσ' ἐν μάχᾳ transposuit M. Schmidt — 47. σώματα . . . ἀσθμαίνοντα κόμ. Heyne: σωμάτια . . . ἀσθμαίνοντα κόμ. *B*, σώματι (σώματα $D^{pc}$) . . . ἀσθμαίνοντα κόμ. *D*, σώματι . . . ἀσθμαίνοντι κόμ. Tricl., σώματι . . . ἀσθμαίνων ἐκόμ. ex paraphrasi Hartung — 50. ἐθάμβεον *Byz.*: ἐθάμβευν *B*, ἐνθάμβεν *D*, ἐνθάμβευν lemma in *D* — 52. προτέρων $B^s$: πρότερον $B^i$ *D* —

*ἔπος ἔχω· βαθυμῆτα Χεί-ρων τράφε λιθίνῳ*
*Ἰάσον' ἐν-δον τέγει, καὶ ἔπειτεν Ἀσ-κλαπιόν,*
*τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·*
*νύμφευσε δ' αὖτις ἀγλαόκολπον*
*Νηρέος θύγατρα, γόνον τέ ϝοι - φέρτατον*
*ἀτίταλλεν ἐν ἀρμένοισι πάντα θυμὸν αὔξων·*

*ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς* **Ἐπ. γ'.**
*ὑπὸ Τροΐαν δορίκτυπον ἀλαλὰν Λυκίων*
*τε προσμένοι - καὶ Φρυγῶν*
*Δαρδάνων τε, καὶ ἐγ-χεσφόροις ἐπιμίξαις*
*Αἰθιόπεσσι χεῖρας ἐν φρασὶ πά-*
*ξαιθ', ὅπως σφίσι μὴ - κοίρανος ὀπίσω*
*πάλιν οἴκαδ' ἀνεψιὸς*
*ζαμενὴς Ἑλένοιο Μέμ-νων μόλοι.*

**Στρ. δ'.**

*τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν - αὐτόθεν·*
*Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμ-νος ἔβαλεν*
*ὀπὶ νέων ἐπιχώριον - χάρμα κελαδέων.*
*βοὰ δὲ νι-καφόρῳ σὺν Ἀριστοκλεί-δᾳ πρέπει,*
*ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ*
*καὶ σεμνὸν ἀγλααῖσι μερίμναις*

---

53. *βαθυμῆτα* $D^{pc}$: *βαθυδμῆτα* $B$ $D^{ac}$ — 54. *λιθίνω γ' ἰάσον'* *B*, *λιθίνω ἰάσων'* *D* — *ἔπειτεν* $D^{pc}$: *ἔπει. τὸν* $B^{i}$, *ἔπειτὸν* $D^{ac}$, *ἔπι. τὸν* $B^{s}$ — *ἀσκληπ.* codd., at v. P. III 6 — 55. *τὸν*: *τῶν* $D^{i}$ — *μαλακ.* *Byz.*: *μαλθακ.* *B D* — 56. *αὖτις* Boeckh: *αὖθις B D* — *ἀγλαόκολπον* $B^{i}$: *ἀγλαόκαρπον* $B^{s}$ $D^{ac}$, *ἀγλαόκρανον* $D^{pc}$, *ἀγλαόκαρνον* $V^{i}$ *X* — 57. *Νηρέως B* — 58. *ἀτίταλλεν ἐν ἀρμ.* Pauw: *ἀτίταλλεν ἀρμ.* (omisso *ἐν*) *B D* — 58. *πᾶσι* coni. Hecker: at cf. N. VI 2 — 60. *δορύκτ. D* — 61. *ἐγχεσιφ. B* — 62. *χεῖρας* codd. et schol.: *κῆρας* coni. Iacobs — *πάξαι θάπος* coni. Bergk — 65. *ὕμνον D* — 66. *κλαδ. D* — 67. *βοᾷ* v. l. schol. — 68. *εὐκλεεῖ B D* —

*Πυθίου Θεάριον· ἐν δὲ πεί-ρᾳ τέλος*
*διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,*

*Ἀντ. δ'.*

*ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀ-νήρ, τρίτον*
*ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷ-ον ἔχομεν*
*βρότεον ἔθνος· ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς*
*ὁ μακρὸς αἰ-ών, φρονεῖν δ' ἐνέπει τὸ παρ-κείμενον·*
*τῶν οὐκ ἄπεσσι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι*
*πέμπω μεμιγμένον μέλι λευκῷ*
*σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' - ἀμφέπει,*
*πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,*

*ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς,* *Ἐπ. δ'.*
*ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος,*
*δαφοινὸν ἄγ-ραν ποσίν·*
*κραγέται δὲ κολοι-οὶ ταπεινὰ νέμονται.*
*τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοί-*
*σας, ἀεθλοφόρου - λήματος ἕνεκεν*
*Νεμέας Ἐπιδαυρόθεν τ'*
*ἄπο καὶ Μεγάρων δέδορ-κεν φάος.*

---

72. *ἐν δ' ἀνδρ. BD*, *δ'* eiec. Hermann — *τρίτον Byz.*: *τρίτατος B*, *τρίτατον D*, *τρίτος* Bergk — 74. *κὰς τέσσαρας ἀρετάς* vel *καὶ τετράδ' ἐς ἀρετᾶς* susp. Bergk — 75. *ὁ* om. *BD*, add. ex schol. Tricl. — *μακρὸς D*: *θνατὸς B* cum Aristarcho — *αἰών*: *ἐών B* — 76. *ἄπεσσι* coni. Bergk: *ἄπεστι* codd. et schol. — *τό δέ τι D* — 77. suppl. in marg. *D* — 79. *Αἰολῇσιν* Boeckh: *αἰολίσιν BD* — *πνοαῖσιν V*: *πνοαῖς BD* — 80. *πετ. D* — 83. *κλεοῦς D*: *κλειοῦς B*, *κλεὸς V*; conf. Pind. fr. 308.

NEMEON. Δ'.

# ΤΙΜΑΣΑΡΧῼ ΑΙΓΙΝΗΤῌ

## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ

ca. 465 a. Ch.

---

Strophae.

⏒ –́ ⏒ –⏑ ⏑ –́ | ⏑ – –́⏑ ⏑ ⏓ |
⏒ –́⏑ ⏑ – ⏑ ⏓́ |
– –́ ⏑ –⏑ ⏑ –́ – | ⏒ –́ ⏑ –⏑ ⏑ ⏓ |
–́ ⏑ –⏑ ⏑ –́ ⏑ – | ⏑ –́⏑ ⏑ – ⏓ |
–́ ⏒ – ⏑ –́⏑ ⏑ – | ⏒ –́⏑ ⏑ – ⏑ ⏓ |
–́ ⏒ – ⏒ –́⏑ ⏑ – | ⏑ –́⏑ ⏑ – ⏓ |
⏖́ ⏑ –⏑ ⏑ –́ ⏑ ⏓ |
⏓ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏓ |

*Ἄριστος εὐφροσύνα πόνων - κεκριμένων* *Στρ. α'.*
*ἰατρός· αἱ δὲ σοφαὶ*
*Μοισᾶν θύγατρες ἀοιδαὶ*
*θέλξαν νιν ἁπτόμεναι.*
*οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει*

---

3. *θύγατρες* Schmid: *θυγατέρες* *B D* — *ἔθελξαν* $B^{a.c.}$ — *νιν ἁπτόμεναι* *B D* et schol.: *συναντόμεναι* coni. Leutsch, *συναπτ.* Rauchenstein, fort. *ἀρδομέναν* — 4. *τόσον* *Byz.*: *τόσσον* *BD* — *τεύχει* *BD*; Plut. de tranqu. 6 *οὐδὲ θερμὸν ὕδωρ τοσόνδε τέγξει μαλθακὰ γυῖα κατὰ Πίνδαρον* —

*γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.*
*ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,*
*ὅ τι κε σὺν Χαρίτων τύχᾳ*
*γλῶσσα φρενὸς ἐξέλοι βαθείας.*

*τό μοι θέμεν Κρονίδᾳ τε Δὶ - καὶ Νεμέᾳ* *Στρ. β'.*
*Τιμασάρχου τε πάλᾳ*
*ὕμνου προκώμιον εἴη·*
*δέξαιτο δ' Αἰακιδᾶν*
*ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν*
*φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀελίῳ*
*σᾶς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων*
*ἅμα κε τῷδε μέλει κλιθεὶς*
*ὕμνον κελάδησε καλλίνικον*

*Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρ-μον στεφάνων* *Στρ. γ'.*
*πέμψαντι καὶ λιπαρᾶν*
*εὐωνύμων ἀπ' Ἀθανᾶν,*
*Θήβαις τ' ἐν ἑπταπύλοις*
*οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον*
*Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,*
*Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν*
*ξένιον ἄστυ κατέδραμεν*
*Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.*

---

8. *ἐξέλῃ* ex scholiis Bergk: *ἐξέλοι BD* — 9. *τό μοι* $B^1$ *D*, *τό περ* $B^s$ — *Δὶ* Boeckh: *διὶ BD* — 11. *ὕμνον D* — 12. *ἠύπυργον* Schmid: *εὔπυργον B D*, *ὑψίπυργον* coni. Schroeder — 13. *ζαθερεῖ* scholiastam legisse putat Lehrs, *ζαμενὲς* coni. Bergk — 14. *σᾶς* scripsi: *σὸς* codd. et schol., *ὃς* coni. Pauw — 15. *ἅμα* scripsi: *θάμα* codd. et schol. — 16. *ὕμνον . . . πέμψαντι* coni. Pauw: *ὕμνον . . . πέμψαντα* codd., *ὕμνον . . . πέμψαντος* schol., *υἱὸν . . . πέμψαντα* coni. Bergk — 19—38. in *D* ab alia manu exarati sunt — 19. *τ'* om. *D* — 20. *οὕνεκεν BD* — 28. *ξείνιον BD* — *κατέδραμεν* Tricl.: *κατέδρακεν* BD

ξὺν ᾧ ποτε Τροΐαν κραται-ὸς Τελαμὼν Στρ. δ'.
πόρθησε καὶ Μέροπας
καὶ τὸν μέγαν πολεμιστὰν
ἔκπαγλον Ἀλκυονῆ,
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους, ἀπειρομάχας ἐὼν κε φανείη
λόγον ὁ μὴ ξυνιείς· ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

τὰ μακρὰ δ' ἐξενέπειν ἐρύ-κει με τεθμὸς Στρ. ε'.
ὧραί τ' ἐπειγόμεναι·
ἴυγγι δ' ἕλκομαι ἦτορ
νεομηνίᾳ θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

χαμαὶ πετοῖσαν. ἐμοὶ δ' ὁποί-αν ἀρετὰν Στρ. ϛ'.
ἔδωκε πότμος ἄναξ,
εὖ ϝοῖδ' ὅτι χρόνος ἕρπων
πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει

---

et schol. — 25. κραταιὸς vel κράτιστος coni. Schmid: καρτερὸς *BD* — 30. τόσους Tricl.: τόσσους *BD* — 31 sq. ἐπηρεάζοντα Stob. flor. 46, 12 et schol. Soph. El. 1026 — 36. καίπερ *BD* — 37. ἐπιβουλίαις *V* — δόξομεν Tricl.: δόξωμεν *BD* — 42. ἔνδωκε coni. Mommsen, vide vv. 82 et 90 — 46. ἀπάρχει *BD*:

*ὁ Τελαμωνιάδας· ἀτὰρ*
*Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·*

*ἐν δ' Εὐξείνῳ πελάγει φαεν-νὰν Ἀχιλεὺς* *Στρ. ζ'.*
*νᾶσον· Θέτις δὲ κρατεῖ*
*Φθίᾳ· Νεοπτόλεμος δ'*
*Ἀπείρῳ διαπρυσίᾳ,*
*βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται,*
*Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.*
*Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαολκὸν*
*πολεμίᾳ χερὶ προστραπὼν*
*Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν,*

*δάμαρτος Ἱππολύτας Ἀκάσ-του δολίαις* *Στρ. η'.*
*τέχναισι χρησάμενος.*
*τᾷ Δαιδάλου δὲ μαχαίρᾳ*
*φύτευέ Ϝοι θάνατον*
*ἐκ λόχου Πελίαο παῖς, ἄλαλκε δὲ Χείρων.*
*καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·*
*πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων*
*ὄνυχας ὀξυτάτους ἀκμὰν*
*τε δεινοτάτων σχάσαις ὀδόντων*

---

*ὑπάρχει* lemma in *B D*, *ἐπάρχει* coni. Pauw, *ἀποικεῖ* Rauchenstein — 49. *ἐν δ' εὐξείνῳ B D*, *ἐν εὐξένῳ* Tricl.; fort. *ἐν Εὐξένῳ δ' Ἀχιλεὺς φαεννὰν πελάγει* — *Ἀχιλλεὺς D* — 53. *ἰώνιον B* — 54. *λατρίαν* Schmid — *Ἰαολκὸν V*: *Ἰαωλκὸν B D* — 55. *χερὶ* Tricl.: *χειρὶ B D* — *παρτραπὼν* coni. Hartung; *πολεμίαν χέρα προστρ.* Rauchenstein — 58. *χρησάμενος B D* et schol.: *χωσάμενος* quidam ap. Tricl. — 59. *δαιδάλου B D*: *δαιδάλῳ* coni. Didymus — 61. *ἔφερεν D* — 62. *θρασυμαχάνων* em. Hermann collato O. VI 67: *θρασυμαχᾶν B D* — 64. τε: τ' ἢ coni. Bergk, fort. *τε δϜειν.* —

*ἔγαμεν ὑψιθρόνων μίαν - Νηρεΐδων·* Στρ. θ'.
*εἶδεν δ' εὔκυκλον ἕδραν,*
*τᾶς οὐρανοῦ βασιλῆες*
*πόντου τ' ἐφεζόμενοι*
*δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.*
*Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. ἀπότρεπε*
*αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·*
*ἄπορα γὰρ λόγον Αἰακοῦ*
*παίδων τὸν ἅπαντά μοι διελθεῖν.*

*Θεανδρίδαισι δ' ἀεξιγυί-ων ἀέθλων* Στρ. ι'.
*κᾶρυξ ἑτοῖμος ἔβαν*
*Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ*
*Νεμέᾳ τε συνθέμενος,*
*ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων*
*οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,*
*Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς*
*πρόπολον ἔμμεναι. εἰ δέ τοι*
*μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις*

*στάλαν θέμεν Παρίου λίθου - λευκοτέραν·* Στρ. ια'.
*ὁ χρυσὸς ἑψόμενος*
*αὐγὰς ἔδειξεν ἁπάσας,*
*ὕμνος δὲ τῶν ἀγαθῶν*
*ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει*

---

68. *ἐξύφαναν* coni. Bury — *ἐγγενὲς* ex scholiis Rittershusius: *ἐς γενεὰς B D*, *ἐς γένας* Tricl., *ἐς γένος* Ursinus, *ἐς γέρας* Pauw — 70. *Εὐρώπαν*: *εὔπορον* coni. Kayser, *εὐρωπὰν* Bergk, *εὔορμον* Leutsch — 75. *Οὐλ.* Schmid: *Ὀλ. B D* — 77. *νέον* $D^{ac}$ — *πάτραν ἵν'* Hermann: *πάτρανιν* $D^{ac}$, *πάτραν νιν* $B\ D^{pc}$ — 78. *τεὰν* codd.: *σὰν* Hermann — 82. *ὁ χρυσὸς δ' ἑψ.* coni. Boeckh —

φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆτιν Ὀρσοτριαίνα,
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλλησε Κορινθίοις σελίνοις·

τὸν Εὐφάνης ἐθέλων γεραι-ὸς προπάτωρ Στρ. ιβ'.
σὸς ἄεισεν τότε, παῖ.
ἄλλοισι δ' ἅλικες ἄλλοι·
τὰ δ' αὐτὸς ἄν τις ἴδῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

---

87. ἵν' ἐν codd.: ὃς ἐν coni. Rauchenstein, ἕνεκ' Mommsen — 88. θάλλησε Schmid: θάλησε codd.; cf. N. x 42 — 90. σὸς ἄεισεν τότε (ποτε Hermann) παῖ coni. Rauchenstein: ὁ σὸς ἀείσεται παῖ codd. et schol. — 91. ἄν τις ἴδῃ ex scholiis Hermann: ἄν τις τύχῃ codd., ἄντα τύχῃ vel ἀντιτύχῃ Mingarelli — 93. οἷον *D* Didymus: οἶον Aristarchus, utrumque *B*, οἵων coni. Ahrens, οἵαν Boeckh — ἔριδας v. l. schol. — 94. ἕλκει $B^{ac}$, fort. ἕλκων — 95. μαλακὰ coni. Schmid: μαλθακὰ *B D*.

## NEMEON. E'.

# ΠΥΘΕΑι ΑΙΓΙΝΗΤΗι

## ΠΑΓΚΡΑΤΙΑΣΤΗι

481 (vel 483) a. Ch.

---

Strophae.

– –́ ⏑ – ⏓ –́ ⏑ – | –́ ⏑ – – –́ ⏑ – – | –́ ⏑⏑ – ⏑⏑ – –
[–́ ⏑ ⏓|
–́ ⏑⏑ – ⏑⏑ – – | –́ ⏑⏑ – ⏑⏑ –́ ⏑ – ⏑ –́ – |
–́ ⏑ – – –́ ⏑ – – | –́ ⏑ ⏓
– –́ ⏑ – – | –́ ⏑ ⏑⏑ – –́ ⏑ ⏓ |
– –́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ ⏓ |
– –́ ⏑ ⏑⏑ – –́ ⏑ – –, | –́ ⏑ – – –́ ⏑ – ⏓ |

Epodi.

⏒ –́ ⏑⏑ – ⏑⏑ – ⏓, | –́ ⏑ – – –́ ⏑ – ⏓ |
–́ ⏑⏑ – ⏑⏑ – –, –́ ⏑ – ⏓, | –́ ⏑ – – –́ ⏑ ⏓ |
– –́ ⏑⏑ – ⏑⏑ – –, | –́ ⏑ – ⏓ –́ ⏑ – |
– –́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑⏑ | – ⏑⏑ – ⏓, –́ ⏑ – |
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́ | ⏑⏑ – – –́ ⏑ – ⏓ |

*Οὐκ ἀνδριαντοποιός εἰμ',* *Στρ. α'.*
*ὥστ' ἐλινύσοντα ϝεργάζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς*
*βαθμίδος*

---

1. ἐλινύσσ. *D* —

ἑσταότ'· ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά,
στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ', ὅτι
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς
νίκη Νεμείοις παγκρατίου στέφανον,
οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν,

ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ- 'Αντ. α'.
ρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηίδων
Αἰακίδας ἐγέραρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν
θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου
στάντες, πίτναν τ' εἰς αἰθέρα χεῖρας ἁμᾶ
Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ καὶ βία Φώκου κρέοντος,

'Επ. α'.
ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα ϝειπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀπ' Οἰνώνας ἔλασεν.
στάσομαι. οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκές·
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι.

---

2. in marg. add. *D* — 5. νίκη Heyne: νικῆ *B D*, νικῇ Bergk — 6. γέννι coni. Hermann — οἰνάνθαν ὀπώρας coni. Pauw — 7. νηρεΐδων *B D* — 8. ἐγέραιρε *B D*: ἐγέραρε ed. Rom. — 12. ἐνδαΐδεος *D* — 13. ὃν Schmid: τὸν *B D* — τίκατ' *D* — ἐπὶ ϝρήγμ. Mommsen; conf. P. I 45 — 15. δὴ *B*: δὲ *D* — 17. ἀτρεκές Bergk: ἀτρεκής (ἀτερκ. *D*) *B D* — 19. σιδηρ. *B D* —

εἰ δ᾽ ὄλβον ἢ χειρῶν βίαν Στρ. β'.
ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται, μακρά μοι
αὐτόθεν ἅλμαθ᾽ ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν ὁρμάν·
καὶ πέραν πόντοιο πάλλοντ᾽ αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ᾽ ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
φόρμιγγ᾽ Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων

ἁγεῖτο παντοίων νόμων. Ἀντ. β'.
αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν,
Πηλέα θ᾽, ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε, ξυνᾶνα Μαγνήτων σκοπὸν
πείσαισ᾽ ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
ὡς ἆρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου

Ἐπ. β'.
εὐνᾶς· τὸ δ᾽ ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν. τοῦ δ᾽ ἄρ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·

---

20. ἔχω γον. *Byz.*: ἔξω γουν. *B D* — ἐλαφρὸν coni. Schmid: ἐλαφρὰν *B D* — 22. κἀκείνοις codd. — ἄειδ᾽ ἐν coni. Pauw: ἄειδεν Schmid, ἀείδει *B D* — 23. ὁ om. $B^{ac}$ — μέσσαις *B*, μοίσσαις *D* — 26. κρηθηὶς codd. — Ἱππολύτα: Ἱππολύτου θυγάτηρ interpretantur scholia hic et N. IV 88 — 27. ξυνᾶνα *D*: ξυνεῦνα *B* — 28. ἀκοίταν: Ἄκαστον coni. Bergk — ποικίλοι *D* — 29. συνέπαξε *B*: συνέπλεξε *D* — 30. ἀκάστα *D* — 32. τοῦ δὲ ὀργ. codd.: τοῖο δ᾽ ὀργ. coni. Hermann, τοῦ δ᾽ ἄρ᾽ ὀργ. *Rauchenstein* —

εὐθὺς δ' ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ' εὖ φράσθη κατένευ-
σέν τέ ϝοι ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
ποντιᾶν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,

γαμβρὸν Ποσειδάωνα πεί- Στρ. γ'.
σαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ
πάντων. τὺ δ' Αἰγίναθεν ἄπ', Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πιτνὼν ποικίλων ἔψαυσας ὕμνων.

ἦτοι μεταΐξαντα καὶ Ἀντ. γ'.
νῦν τεὸς μάτρως σ' ἀγάλλει καί σου ὁμόσπορον ἔθνος, Πυθέα.
ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτεις,
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι

---

34. δ' εὖ φρ. *BD*: δ' ἔφρ. ex schol. Ald. — 36. ποντιᾶν Heyne: ποντίαν codd. — πράξον *D* — 37. κλειτὰ *D*pc — 38. ἔνθα μὲν coni. Mingarelli — 40. συγγενὲς *D* — 41. Αἰγίναθεν ἄπ' scripsi praeeunte Mingarellio, qui Αἰγίναθεν ὦ proposuerat: Αἰγίνᾳ θεᾶς codd. et pars schol., Αἰγίνᾳ θεοῦ Schmid — 43. τεὸς μάτρως σ' (fort. τὲ (= σὲ, cf. O. I 49) τεὸς μάτρως) ἀγάλλει καί σου ὁμόσπορον ἔθνος Πυθέα scripsi scholiorum vestigia secutus: τεὸς μάτρως ἀγάλλει κείνου ὁμ. ἔθν. πυθέας codd. — 45. ἐλθόντας: fort. ἔρδοντας — τ' ἐκράτεις Kayser: τε κράτει codd. —

*ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.*
*ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν*

*Ἐπ. γ'.*

*ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀθληταῖσιν ἔμμεν.*
*εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι*
*φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου·*
*πύκταν τέ νιν καὶ παγκρατίῳ*
*φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν*
*νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ*
*ἀνθέων ποιάεντα φέρειν στεφανώματα σὺν ξανθαῖς Χάρισσιν.*

---

47. *μάρνανται* coni. Ahlwardt — 48. *σὺν τύχᾳ* codd. et schol.: *συμπτυχᾷ* coni. Hartung — 50. *δίδοι* coni. Hermann: *δίδου* codd. — 52. *πύκτα D* — *παγκρατίῳ B*: *παγκρατίου D* — *διπλόαν D* et schol.: *τριπλόαν B* — 54. *ἀνθέων* coni. Hermann: *ἄνθεα* codd.

NEMEON. ϛ'.

# ΑΛΚΙΜΙΔΗι ΑΙΓΙΝΗΤΗι

## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι

ca. 463 vel 465 a. Ch.

---

### Strophae.



### Epodi.



Ἓν ἀνδρῶν, Στρ
ἓν θεῶν γένος· ἐκ μιᾶς - δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείρ-
γει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐ-
δέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσ-
φέρομεν ἔμπαν ἢ μέγαν
νόον ἤ-τοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐ-
δὲ μετὰ νύκτας ἄμμε πότμος
οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

τεκμαίρει Ἀντ
καί νυν Ἀλκιμίδας τὸ συγ-γενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρού-
ραισιν, αἵτ' ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἀν-
δράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι
σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας - ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων
Διόθεν αἶσαν νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,

---

3. αἰὲν Hermann: αἰεὶ codd. — 6. ἄμμι coni. Schneid — 7. οἵαν τιν' coni. Hermann²: ἄν τιν' codd., αἶσαν τίν' Ahrens, ἂν σύμφυτος Hermann opusc. VIII 70 — 8. τεκ καὶ BD, δὲ del. Schmid — Ἀλκιμίδα coni. Hartung — 10 δρεσσιν BD — 13. τε πέφαντ' BD; τε eiec. Tricl 14. ἄμοιρος D —

*ἴχνεσιν ἐν - Πραξιδάμαντος ἑὸν - πόδα νέμων* Ἐπ. α'.
*πατροπάτορος ὁμαιμίου.*
*κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν - Αἰακίδαις*
*ἔρνεα πρῶτος ἔνεικεν ἀπ' Ἀλφεοῦ,*
*καὶ πεντάκις Ἰσθ-μοῖ στεφανωσάμενος,*
*Νεμέᾳ δὲ τρίς,*
*ἔπαυσε λάθαν*
*Σωκλείδα, ὃς ὑπέρτατος*
*Ἀγησιμάχῳ υἱέων γένετο.*

*ἐπεί ϝοι* Στρ. β'.
*τρεῖς ἀεθλοφόροι πρὸς ἄ-κρον ἀρετᾶς*
*ἦλθον, οἵτε πόνων ἐγεύ-*
*σαντο. σὺν θεοῦ δὲ τύχᾳ*
*ἕτερον οὔ τινα ϝοῖ-*
*κον ἀπεφάνατο πυγμαχία πλεόνων*
*ταμίαν στεφάνων μυχῷ Ἑλ-*
*λάδος ἁπάσας. ἔλπομαι*
*μέγα ϝει-πὼν σκοποῦ ἄντα τυχεῖν*
*ὥτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦ-*
*τον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον*
*εὐκλεῖα· παροιχομένων γὰρ ἀνέρων*

---

16. *ὁμαισίου* coni. Rauchenstein, *ὁμαίμονος* Hecker, *ὁμαιχμίου* Hermann — 18. *ἔνεικεν* suppl. Bergk, *ἐδρέψατ'* Hartung, *ἐλαίας* Boeckh — 19. *ἰσθμοῖ Byz.*: *ἰσθμῷ B*, *ἰσθμοῖῶ D* — 20. *τρὶς* codd.: *τρεῖς* coni. Hermann coll. O. VII 82, *τρὶς κάππαυσε* Boeckh² — 21. *σωκλείδᾳ* Tricl. — 22. *ἀγησιμάχω B*, *Ἀγησιμάχου* schol. — *υἱέων γένετο* Tricl.: *υἱῶν ἐγένετο BD* — 23. *ἐπεὶ οἱ D* — 25. *πλεόνων* om. codd., ex scholiis add. Schmid — 27. *σκοποῦ ἄντα τυχεῖν* coni. Mingarelli: *ἄντα σκοποῦ τυχεῖν* (*τετυχεῖν B*) *BD*; *ἂν τετυχεῖν* v. l. schol. — 28. *εὔθυν'* Schmid: *εὐθὺν BD*; cf. O. VII 33 — *ἐπέων ὦ Μοῖσ' ἄγ' οὖρον* coni. Boeckh: *ἄγε μοῖσα οὖρον ἐπέων BD*, *ἄγε Μοῖσα* | *οὖρον ἐπέων* coni. Hermann — 29. *εὐκλεῖα παροιχ.* Boeckh: *εὐκλέα παροιχ. BD*,

*Ἓν ἀνδρῶν,* *Στρ. α'.*
*ἓν θεῶν γένος· ἐκ μιᾶς - δὲ πνέομεν*
*ματρὸς ἀμφότεροι· διείρ-*
*γει δὲ πᾶσα κεκριμένα*
*δύναμις, ὡς τὸ μὲν οὐ-*
*δέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος*
*μένει οὐρανός. ἀλλά τι προσ-*
*φέρομεν ἔμπαν ἢ μέγαν*
*νόον ἤ-τοι φύσιν ἀθανάτοις,*
*καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐ-*
*δὲ μετὰ νύκτας ἄμμε πότμος*
*οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.*

*τεκμαίρει* *'Αντ. α'.*
*καί νυν 'Αλκιμίδας τὸ συγ-γενὲς ἰδεῖν*
*ἄγχι καρποφόροις ἀρού-*
*ραισιν, αἵτ' ἀμειβόμεναι*
*τόκα μὲν ὦν βίον ἀν-*
*δράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,*
*τόκα δ' αὖτ' ἀναπαυσάμεναι*
*σθένος ἔμαρψαν. ἦλθέ τοι*
*Νεμέας - ἐξ ἐρατῶν ἀέθλων*
*παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων*
*Διόθεν αἶσαν νῦν πέφανται*
*οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,*

---

3. *αἰὲν* Hermann: *αἰεὶ* codd. — 6. *ἄμμι* coni. Schneidewin — 7. *οἵαν τιν'* coni. Hermann[2]: *ἄν τιν'* codd., *αἶσαν τίν'* coni. Ahrens, *ἂν σύμφυτος* Hermann opusc. VIII 70 — 8. *τεκμ. δὲ καὶ* *B D*, *δὲ* del. Schmid — *'Αλκιμίδα* coni. Hartung — 10. *ἄνδρεσσιν* *B D* — 13. *τε πέφαντ'* *B D*; *τε* eiec. Tricl. — 14. *ἄμοιρος* *D* —

*ἴχνεσιν ἐν - Πραξιδάμαντος ἑὸν - πόδα νέμων* *Ἐπ. α'.*
*πατροπάτορος ὁμαιμίου.*
*κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν - Αἰακίδαις*
*ἔρνεα πρῶτος ἔνεικεν ἀπ' Ἀλφεοῦ,*
*καὶ πεντάκις Ἰσθ-μοῖ στεφανωσάμενος,*
*Νεμέᾳ δὲ τρίς,*
*ἔπαυσε λάθαν*
*Σωκλείδα, ὃς ὑπέρτατος*
*Ἁγησιμάχῳ υἱέων γένετο.*

*ἐπεί ϝοι* *Στρ. β'.*
*τρεῖς ἀεθλοφόροι πρὸς ἄ-κρον ἀρετᾶς*
*ἦλθον, οἵτε πόνων ἐγεύ-*
*σαντο. σὺν θεοῦ δὲ τύχᾳ*
*ἕτερον οὔ τινα ϝοῖ-*
*κον ἀπεφάνατο πυγμαχία πλεόνων*
*ταμίαν στεφάνων μυχῷ Ἑλ-*
*λάδος ἁπάσας. ἔλπομαι*
*μέγα ϝει-πὼν σκοποῦ ἄντα τυχεῖν*
*ὧτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦ-*
*τον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον*
*εὐκλεῖα· παροιχομένων γὰρ ἀνέρων*

---

16. *ὁμαισίου* coni. Rauchenstein, *ὁμαίμονος* Hecker, *ὁμαιχμίου* Hermann — 18. *ἔνεικεν* suppl. Bergk, *ἐδρέψατ'* Hartung, *ἐλαίας* Boeckh — 19. *ἰσθμοῖ* *Byz.*: *ἰσθμῷ* *B*, *ἰσθμοῖῶ* *D* — 20. *τρὶς* codd.: *τρεῖς* coni. Hermann coll. O. VII 82, *τρὶς κάππαυσε* Boeckh[2] — 21. *σωκλείδᾳ* Tricl. — 22. *ἀγησιμάχω* *B*, *Ἀγησιμάχου* schol. — *υἱέων γένετο* Tricl.: *υἱῶν ἐγένετο* *BD* — 23. *ἐπεὶ οἱ* *D* — 25. *πλεόνων* om. codd., ex scholiis add. Schmid — 27. *σκοποῦ ἄντα τυχεῖν* coni. Mingarelli: *ἄντα σκοποῦ τυχεῖν* (*τετυχεῖν* *B*) *BD*; *ἂν τετυχεῖν* v. l. schol. — 28. *εὔθυν'* Schmid: *εὐθὺν* *BD*; cf. O. VII 33 — *ἐπέων ὦ Μοῖσ' ἄγ' οὖρον* coni. Boeckh: *ἄγε μοῖσα οὖρον ἐπέων* *BD*, *ἄγε Μοῖσα | οὖρον ἐπέων* coni. Hermann — 29. *εὐκλεῖα παροιχ.* Boeckh: εὐκλέα παροιχ. BD,

Ἓν ἀνδρῶν, Στρ. α'.
ἓν θεῶν γένος· ἐκ μιᾶς - δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείρ-
γει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐ-
δέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσ-
φέρομεν ἔμπαν ἢ μέγαν
νόον ἤ-τοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐ-
δὲ μετὰ νύκτας ἄμμε πότμος
οἷαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

τεκμαίρει Ἀντ. α'.
καί νυν Ἀλκιμίδας τὸ συγ-γενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρού-
ραισιν, αἵτ' ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἀν-
δράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι
σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας - ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων
Διόθεν αἶσαν νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,

---

3. αἰὲν Hermann: αἰεὶ codd. — 6. ἄμμι coni. Schneidewin — 7. οἷαν τιν' coni. Hermann[2]: ἂν τιν' codd., αἶσαν τίν' coni. Ahrens, ἂν σύμφυτος Hermann opusc. VIII 70 — 8. τεκμ. δὲ καὶ *BD*, δὲ del. Schmid — Ἀλκιμίδα coni. Hartung — 10. ἄνδρεσσιν *B D* — 13. τε πέφαντ' *B D*; τε eiec. Tricl. — 14. ἄμοιρος *D* —

*ἴχνεσιν ἐν - Πραξιδάμαντος ἑὸν - πόδα νέμων* *Ἐπ. α'.*
*πατροπάτορος ὁμαιμίου.*
*κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν - Αἰακίδαις*
*ἔρνεα πρῶτος ἔνεικεν ἀπ' Ἀλφεοῦ,*
*καὶ πεντάκις Ἰσθ-μοῖ στεφανωσάμενος,*
*Νεμέᾳ δὲ τρίς,*
*ἔπαυσε λάθαν*
*Σωκλείδα, ὃς ὑπέρτατος*
*Ἀγησιμάχῳ υἱέων γένετο.*

*ἐπεί ϝοι* *Στρ. β'.*
*τρεῖς ἀεθλοφόροι πρὸς ἄ-κρον ἀρετᾶς*
*ἦλθον, οἵτε πόνων ἐγεύ-*
*σαντο. σὺν θεοῦ δὲ τύχᾳ*
*ἕτερον οὔ τινα ϝοῖ-*
*κον ἀπεφάνατο πυγμαχία πλεόνων*
*ταμίαν στεφάνων μυχῷ Ἑλ-*
*λάδος ἁπάσας. ἔλπομαι*
*μέγα ϝει-πὼν σκοποῦ ἄντα τυχεῖν*
*ὥτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦ-*
*τον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον*
*εὐκλεῖα· παροιχομένων γὰρ ἀνέρων*

---

16. *ὁμαισίου* coni. Rauchenstein, *ὁμαίμονος* Hecker, *ὁμαιχμίου* Hermann — 18. *ἔνεικεν* suppl. Bergk, *ἐδρέψατ'* Hartung, *ἐλαίας* Boeckh — 19. *ἰσθμοῖ Byz.*: *ἰσθμῷ B*, *ἰσθμοῖῶ D* — 20. *τρὶς* codd.: *τρεῖς* coni. Hermann coll. O. VII 82, *τρὶς κάππαυσε* Boeckh² — 21. *σωκλείδᾳ* Tricl. — 22. *ἀγησιμάχω B*, *Ἀγησιμάχου* schol. — *υἱέων γένετο* Tricl.: *υἱῶν ἐγένετο BD* — 23. *ἐπεὶ οἱ D* — 25. *πλεόνων* om. codd., ex scholiis add. Schmid — 27. *σκοποῦ ἄντα τυχεῖν* coni. Mingarelli: *ἄντα σκοποῦ τυχεῖν* (*τετυχεῖν B*) *BD*; *ἂν τετυχεῖν* v. l. schol. — 28. *εὔθυν'* Schmid: *εὐθὺν BD*; cf. O. VII 33 — *ἐπέων ὦ Μοῖσ' ἄγ' οὖρον* coni. Boeckh: *ἄγε μοῖσα οὖρον ἐπέων BD*, ἄγε Μοῖσα \ οὖρον ἐπέων coni. Hermann — *29. εὐκλεῖα παροιχ.* Boeckh: εὐκλέα παροιχ. BD,

*ἀοιδαὶ* *'Αντ. β'.*
*καὶ λόγοι τὰ καλά σφιν ἔργ' - ἐκόμισαν,*
*Βασσίδαισιν ἅ τ' οὐ σπανί-*
*ζει· παλαίφατος γενεά,*
*ἴδια ναυστολέον-*
*τες ἐπικώμια, Πιερίδων ἀρόταις*
*δυνατοὶ παρέχειν πολὺν ὕμ-*
*νον ἀγερώχων ἐργμάτων*
*ἕνεκεν. - καὶ γὰρ ἐν ἀγαθέᾳ*
*χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτη-*
*σεν ἀπὸ ταύτας αἷμα πάτρας*
*χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν*

*'Επ. β'.*
*ἔρνεσι Λα-τοῦς· παρὰ Κασταλίᾳ - τε Χαρίτων*
*ἑσπέριος ὁμάδῳ φλέγεν.*
*πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμ-φικτιόνων*
*ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν*
*τίμασε Ποσει-δάνιον ἂν τέμενος·*
*βοτάνα τέ νιν*
*πόθ' ἁ λέοντος*
*νικῶντ' ἤρεφε δασκίοις*
*Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.*

---

*ἐυκλέ' ἀποιχ.* Schneidewin collato P. I 93 — 30. *ἀοιδαὶ καὶ λόγοι* coni. Pauw: *ἀοιδοὶ καὶ λόγιοι B D* et schol. — 30. *ἐκόμισαν* Tricl.: *ἐκόμιξαν B D* — 31. *Βασιδ. D*, *Βουδίδαισιν* scribendum censuit Didymus — 35. *ἱμάντι δεθεὶς* Tricl.: *ἱμαντωθεὶς B D* — *αἵματι* coni. Hermann; *τωὐτοῦ αἵματος χρ.* Bergk — 36. *χρυσαλακάτου*: *χρυσαλακάτας* Schmid, *χρυσοπλοκάμου* Hermann — *ἅδων B*, *ἄδων* $D^{ac}$ — 37. *κασταλία B D* — 38. *ἑσπερίοις* $D^{ac}$ — 39. *τε* om. *B* — 40. *Κρεοντιδᾶν* coni. Rauchenstein — 43. *νικῶντ' ἤρεφε* coni. Hermann: *νικάσαντ' ἔρεψε B D*, *νικάσαντ'* ἔρεφ' *ἀσκίοις* coni. Schmid, *ἀσκίοις* scripserat iam Tricl. —

*πλατεῖαι* *Στρ. γ'.*
*πάντοθεν λογίοισιν ἐν-τὶ πρόσοδοι*
*νᾶσον εὐκλέα τάνδε κοσ-*
*μεῖν· ἐπεί σφιν Αἰακίδαι*
*ἔπορον ἔξοχον αἶ-*
*σαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.*
*πέταται δ' ἐπί τε χθόνα καὶ*
*διὰ θαλάσσας τηλόθεν*
*ὄνυμ' αὐ-τῶν· καὶ ἐς Αἰθίοπας*
*Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλ-*
*το· βαρὺ δ' ἔμπεσέ σφι νεῖκος*
*χαμαὶ καταβὰς Ἀχιλεὺς ἀφ' ἁρμάτων,*

*φαεννᾶς* *Ἀντ. γ'.*
*υἱὸν εὖτ' ἐνάριξεν Ἀ-όος ἀκμᾷ*
*ἔγχεος ζακότοιο. καὶ*
*ταῦτα μὲν παλαιότεροι*
*ὁδὸν ἀμαξιτὸν εὗ-*
*ρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·*
*τὸ δὲ παρ ποδὶ ναὸς ἑλισ-*
*σόμενον αἰεὶ κυμάτων*
*λέγεται - παντὶ μάλιστα δονεῖν*
*θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων*
*δίδυμον ἄχθος ἄγγελος βᾶν,*

---

46. *σφιν Byz.*: *σφισιν BD* — 48. *τηλόθεν γ'* Tricl. — 49. *ὄνομ' BD, κλέος* ex schol. Bergk — 50. *ἀπον.* Tricl.: *ἂν ἀπον. BD* — *δ' ἔμπεσε σφι νεῖκος* coni. Kayser: *δέ σφιν νεῖκος ἔμπεσ' BD* — 51. *χαμαὶ καταβὰς* (*χαμᾶζε καβάς* Hermann) *Ἀχιλεὺς* coni. Dissen: *Ἀχιλεὺς χαμαὶ καββὰς* (*καμβὰς B*) *BD*; fort. *καββὰς Ἀχιλεὺς χαμαὶ αἶψ'* — 52. *ἐνάριζεν B* — *Ἀόος ἀκμᾷ* coni. Schmid: *ἀοῦς αἰχμᾷ* codd.; *ἀκμᾷ* habet vet. paraphr. — 53. *ταῦτα* coni. Pauw: *ταύταν* codd., *τάνδε* Schmid — 56. *παντὶ* om. *B*[1], *παντιὸς* (i. e. *παντὶ* et *παντὸς*) D — 57. *βᾶν* coni.

πέμπτον γ' ἐπὶ Ϝείκοσι τοῦτο γαρύων

'Επ. γ'.

εὖχος ἀγώ-νων ἄπο, τοὺς ἐνέποι-σιν ἱερούς,
'Αλκιμίδας τό γ' ἐπάρκεσε
κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου - παρ τεμένει,
παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν
κλᾶρος προπετὴς - ἄνθε' Ὀλυμπιάδος.
δελφῖνί κεν
τάχος δι' ἅλμας
εἰκάζοιμι Μελησίαν,
χειρῶν τε καὶ ἰσχύος ἀνίοχον.

---

Hermann: ἔβαν codd. — 58. γ' om. codd., add. Hermann — 60. 'Αλκιμίδα ὅ γ' ἐπάρκεσε κλειτὰ γενεά coni. Schmid, 'Αλκιμίδα, τό γ' ἐπάρκεσας κλειτᾷ γενεᾷ Bergk; τ' pro γ' maluit Hermann — 62. καὶ πολυτιμίδαν *B*: καὶ πολυτιμίδα *D*, καὶ σὲ Πολυτιμίδα coni. Hermann — 64. δι' *D*: δ' *B* — 65. εἰκάζοιμι coni. Bergk: ἴσον εἴποιμι *B D* — 66. χερῶν *D*.

## NEMEON. Z'.

# ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΕΝΤΑΘΛΩι

467 a. Ch.

---

### Strophae.

⏑ –́ –⏑ ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏓|
–́⏑ ⏑ – ⏑ ⏑́⏑ ⏑ – ⏑|–́ –⏑ ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏓|
–́⏑ ⏑ – ⏑ –́ – ⏑ –́ ⏑ – ⏑ ⏓|
⏑ –́ ⏑ – –́ ⏑ ⏑⏑ ⏑|–́⏑ ⏑ – ⏑ –́ ⏓|
⏑ –́⏑ ⏑ – –́ ⏑ – ⏑ ⏑́⏑ ⏑ ⏓|
–́ –⏑ ⏑ –́ ⏑ –| ⏑́⏑ ⏑ ⏑⏑ ⏑ –́ ⏑ ⏓|
–́ ⏓⏑⏑ –́ ⏑ –| ⏑́⏑ ⏑ – ⏑ ⏓́|
– –́⏑ ⏑ – ⏑ –́ –|⏑ –́⏑ ⏑ – ⏑ –́ ⏓|

### Epodi.

⏑ –́ ⏑ – –́⏑ ⏑ – ⏑́⏑ ⏑ ⏓|
⏑⏑ ⏑ –⏑ ⏑ – – ⏑ ⏓|
– ⏑ –⏑ ⏑ – ⏑⏑ ⏑ –|⏑ ⏓
⏑⏑ ⏑ –⏑|⏑ – ⏑⏑ ⏑ – ⏑ ⏓|
⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ –| ⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏓|

*Ἐλείθυια, πάρεδρε Μοι-ρᾶν βαθυφρόνων,* *Στρ. α'.*
*παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥ-*
*ρας, γενέτειρα τέκ-νων· ἄνευ σέθεν*

---

1. ἐλειθ. Tricl.: εἰλειθ. *BD* — πάρεδρος D — 2. τέκνον D —

οὐ φάος, οὐ μέλαι-ναν δρακέντες εὔφρόναν
τεὰν ἀδελ-φεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
ἀναπνέομεν - δ' οὐχ ἅπαντες ἐπὶ Ϝῖσα·
εἴργει δὲ πότμῳ ζυγένθ' - ἕτερον ἕτερα. σὺν δὲ τὶν
καὶ παῖς ὁ Θεαρίω-νος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται - Σωγένης μετὰ πενταέθλοις.

πόλιν γὰρ φιλόμολπον οἰ-κεῖ δορικτύπων *Ἀντ. α'.*
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι σύμ-
πειρον ἀγωνίᾳ - θυμὸν ἀμφέπειν.
εἰ δὲ τύχῃ τις ἔρ-δων, μελίφρον' αἰτίαν
ῥοαῖσι Μοι-σᾶν ἐνέβαλε· ταὶ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμ-νων ἔχοντι δεόμεναι·
ἔργοις δὲ καλοῖς ἔσοπ-τρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
εἰ Μναμοσύνας ἕκα-τι λιπαράμπυκος
εὕρηται ἄποινα μόχ-θων κλυταῖς ἐπέων ἀοιδαῖς.

σοφοὶ δὲ μέλ-λοντα τριταῖ-ον ἄνεμον *Ἐπ. α'.*
ἔμαθον, οὐδ' ὑπὸ κέρ-δει βλάβεν·
ἀφνεὸς πενιχρός - τε θανάτου πέρας
ἅμα νέονται· ἐγὼ - δὲ πλέον' ἔλπομαι
λόγον Ὀδυσσέος ἢ πάθεν
διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον·

---

3. *εὐφρόναν B*: *εὐφροσύναν D* — 4. *ἀδελφ. ἐλάχ. D*: *ἐλάχ. ἀδελφ. B*, *ἀδελφ. λάχ.* Tricl. — 5. *ἀναπλέομεν* coni. Bornemann — 6. *πότμος D* — *ζυγένθ'* coni. Schmid: *ζυγόνθ' BD* — 8. *ἔνδοξος D* — *πενταέθλ. Byz.*: *πεντάθλ. BD* — 9. *δορικτύπων B*[s]: *δορίκτυπον* (*δορύκτ. D*) *B*[1] *D* — 10. *ἀγωνίας* coni. Hartung — 12. *ἐνέβαλεν* ex schol. Schmid: *ἔβαλε BD* — *ταὶ B*: *αἱ D* — *ῥοαῖσι* codd.: *πνοαῖς* unus ex scholiastis — 13. *δέομαι D* — 16. *εὕρηται ἀπ'* coni. Hermann: *εὕρηται τις ἀπ. BD*, *εὕρῃ τις ἀπ.* Schmid — 18. *βλάβεν B* et schol.: *λάβεν D* — 19. *ἀφνεός τε πεν. B D*, *τε* eiec. *Byz.* — *πέρας ἅμα* coni. Wieseler: *παρὰ σᾶμα B D* — 21. *πάθεν Byz.* et fort.

*ἐπεὶ ψεύδεσί ϝοι ποτα-νᾷ τε μαχανᾷ* Στρ. β'.
*σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπ-*
*τει παράγοισα μύ-θοις· τυφλὸν δ' ἔχει*
*ἦτορ ὅμιλος ἀν-δρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν*
*ἓ τὰν ἀλά-θειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς*
*ὁ καρτερὸς Αἴ-ας ἔπαξε διὰ φρενῶν*
*λευρὸν ξίφος· ὃν κράτισ-τον Ἀχιλέος ἄτερ μάχᾳ*
*ξανθῷ Μενέλᾳ δάμαρ-τα κομίσαι θοαῖς*
*ἂν ναυσὶ πόρευσαν εὐ-θυπνόου Ζεφύροιο πομπαὶ*

*πρὸς Ἴλου πόλιν. ἀλλὰ κοι-νὸν γὰρ ἔρχεται* Ἀντ. β'.
*κῦμ' Ἀίδα, πέσε δ' ἀδόκητον ἐν*
*καὶ δοκέοντα· τι-μὰ δὲ γίνεται,*
*ὧν θεὸς ἁβρὸν αὔ-ξῃ λόγον τεθνακότων.*
*βίᾳ θάνεν - τοι παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου*
*μολὼν χθονός, ἐν - Πυθίοισι δὲ δαπέδοις*
*κεῖται Πριάμου πόλιν - Νεοπόλεμος ἐπεὶ πράθεν,*
*τᾷ καὶ Δαναοὶ πόνη-σαν· ὁ δ' ἀποπλέων*
*Σκύρου μὲν ἅμαρτεν, ἵ-κοντο δ' εἰς Ἐφύραν πλάνητες.*

---

schol.: *πάθαν* *B D* — 22. *τε* om. *B D*, add. Hermann — 25. *ἓ τὰν* coni. Boeckh: *ἑὰν* *BD*, *ἐτὰν* coni. Bergk — *ἰδέμεν* coni. Schmid: *εἰδέμεν* *B D* — 29. *εὐθυπνόου* *D*: *εὐθυπόρου* *B* — *ζεφύρεο* *D* — *πομπαί* *D* et *B* margo: *πνοαί* *B*, quod *πνοιαί* scribendum fuit — 31. *ἀίδαο* *B D* — 32. *αὔξῃ* cum schol. Bergk: *αὔξει* *B D* — 33. *βίᾳ θάνεν τοι . . . μολὼν* scripsi: *βοαθόων τοὶ γὰρ . . . ἔμολεν* *BD*, qua in lectione *ἔμολεν* pro genuina *ἔμολον* vel *μόλον* e Didymi coniectura scriptum esse scholia testantur; *γὰρ* eiec. Hermann, *μόλεν* coni. Schmid; *βοαθόν· ἦ τοι . . . μόλεν* coni. Feine — 35. *πριάμου* Tricl.: *πριάμοιο* *B D* — *νεοπτόλ.* codd. — 37. *ἅμαρτε, πλαγχθέντες δ' εἰς Ἐφύραν* Boeckh: *ἅμαρτεν. ἵκοντο δ' εἰς ἐφύραν πλαγχθέντες* *BD* (*πλαχθ.* $D^{ac}$); *ἁμ. ἵκ. δ' εἰς ἐφ. πλάναισιν* (vel *πλάνητες*) coni. Bergk —

*Μολοσσίᾳ - δ' ἐμβασίλευ-εν ὀλίγον* *'Επ. β'.*
*χρόνον· ἀτὰρ γένος αἰ-εὶ φέρει*
*τοῦτό ϝοι γέρας. ᾤ-χετο δὲ πρὸς θεόν,*
*κτέαν' ἄγων Τροΐα-θεν ἀκροθινίων·*
*ἵνα κρεῶν νιν ὕπερ μάχας*
*ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.*

*βάρυνθεν δὲ περισσὰ Δελ-φοὶ ξεναγέται.* *Στρ. γ'.*
*ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχ-*
*ρῆν δέ τιν' ἔνδον ἄλ-σει παλαιτάτῳ*
*Αἰακιδᾶν κρεόν-των τολοιπὸν ἔμμεναι*
*θεοῦ παρ' εὐ-τειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς*
*θεμισκόπον οἰ-κεῖν ἐόντα πολυθύτοις*
*εὐώνυμον ἐς δίκαν. - τρία ϝέπεα διαρκέσει·*
*οὐ ψεῦδις ὁ μάρτυς ἔργ-μασιν ἐπιστατεῖ.*
*Αἴγινα, τεῶν Διός τ' - ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν*

*φαενναῖς ἀρεταῖς ὁδὸν - κυρίαν λόγων* *'Αντ. γ'.*
*οἴκοθεν. ἀλλὰ γὰρ ἀνάπαυσις ἐν*
*παντὶ γλυκεῖα ϝέρ-γῳ· κόρον δ' ἔχει*
*καὶ μέλι καὶ τὰ τέρπν' - ἄνθε' Ἀφροδίσια.*
*φυᾷ δ' ἕκασ-τος διαφέρομεν βιοτὰν λαχόντες,*
*ὁ μὲν τά, τὰ δ' ἄλ-λοι· τυχεῖν δ' ἕν' ἀδύνατον*
*εὐδαιμονίαν ἅπα-σαν ἀνελόμενον· οὐκ ἔχω*

---

39. *φέρει D*: *φέρεν B*, *ἔσχεν* paraphr. — 41. *κτέατ' ἀνάγων D* — 43. *βάρυνθε D* — *δὲ περισσὰ* coni. Schmid: *περισσὰ δὲ B D* — 47. *θεμίσκοπον B D* — *πολυθύτης D*; post *πολυθύτοις* interpunxit Aristarchus, ante *ἐς δίκαν* Heyne — 49. *ψεύδεσι μάρτυς* coni. Bornemann — *μάρτυς* $B^1$ *D*: *μάντις* $B^2$ — 50. *τόδ', εὑρεῖν φαενν.* coni. Steffen — 51. *λέγων* coni. Heimsoeth — 56. *οὐδ' ἔχω* Schmid — 59. *ἀρομένῳ* coni. Hermann: *ἀραμένῳ B D* —

*εἰπεῖν, τίνι τοῦτο Μοῖ-ρα τέλος ἔμπεδον*
*ὤρεξε. Θεαρίων, - τὶν δ' ἐοικότα καιρὸν ὄλβου*

*δίδωσι, τόλ-μαν τε καλῶν - ἀρομένῳ* 'Επ. γ'.
*σύνεσις οὐκ ἀποβλάπ-τει φρενῶν.*
*ξεῖνός εἰμι, σκοτει-νὸν ἀπέχων ψόγον·*
*ὕδατος ὥτε ῥοὰς - φίλον ἐς ἄνδρ' ἄγων*
*κλέος ἐτήτυμον αἰνέσω·*
*ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.*

*ἐὼν δ' ἐγγὺς 'Αχαιὸς οὐ - μέμψεταί μ' ἀνὴρ* Στρ. δ'.
*'Ιονίας ὑπὲρ ἁλὸς οἰκέων·*
*καὶ ξενίᾳ πέποιθ', - ἔν τε δαμόταις*
*ὄμματι δέρκομαι - λαμπρόν, οὐχ ὑπερβαλών,*
*βίαια πάντ' - ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων*
*ποτὶ χρόνος ἕρ-ποι. μαθὼν δέ τις ἂν ἐρεῖ,*
*εἰ παρ μέλος ἔρχομαι - ψάγιον ὄαρον ἐννέπων.*
*Εὐξενίδα πάτραθε Σώ-γενες, ἀπομνύω*
*μὴ τέρμα προβὰς ἄκονθ' - ὥτε χαλκοπάραον ὄρσαι*

*θοὰν γλῶσσαν· ὃ σ' ἐξέπεμ-ψεν παλαισμάτων* 'Αντ. δ'.

---

60. *σύνεσιν* coni. Hermann — 61. *κοτεινὸν* scripsit Boeckh, *κελαινὸν* vel *ἐρεβεννὸν* coni. Bergk — 62. *ἐς* *B*: *ὡς* *D* — 63. *ποτίφρος* *D* — 65. *καὶ ξενίᾳ* coni. Mommsen: *καὶ προξενίᾳ* codd., *καὶ* eiec. Hermann — 66. *ὑπερβαλών* coni. Schmid: *ὑπερβάλλων* codd., *ὑπερβλέπων* coni. Mommsen — 68. *τις ἂν ἐρεῖ* *B D* et schol.: *τις ἐρέει* coni. Boeckh — 69. *ψάγιον* *B D* et Hesych.: *ψέγιον* Tricl. — 70. *Εὐξεινίδι Σωγένους πάτρᾳ* Hartung — *ὑπομνύω* ex schol. Bergk — 71. *τέρμα περῶν* coni. Herwerden — *προβάντ'* vel *ὄρσαις* scribendum censuit Holwerda — *ὦτε* Boeckh: *ὡσείτε* *B D*, *ὥστε* Tricl. — 72. *ὃ σ' ἐξέπεμψεν* coni. Bergk: ὃς *ἐξέπεμψας* *B*, ὃς ἐξέπεμψε D —

*αὐχένα καὶ σθένος ἀδίαντον, αἴ-*
*θωνι πρὶν ἁελίῳ - γυῖον ἐμπεσεῖν.*
*εἰ πόνος ἦν, τὸ τερπ-νὸν πλέον πεδέρχεται.*
*ἔα με· νι-κῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς*
*ἀνέκραγον, οὐ - τραχύς εἰμι καταθέμεν·*
*εἴρειν στεφάνους· ἐλαφ-ρόν ἀναβάλεο, Μοῖσά, τοι·*
*κόλλα χρῦσὸν ἔν τε λευ-κὸν ἐλέφανθ' ἁμᾶ*
*καὶ λείριον ἄνθεμον - ποντίας ὑφελοῖσ' ἐέρσας.*

*Διὸς δὲ μεμ-ναμένος ἀμ-φὶ Νεμέᾳ* **'Επ. δ'.**
*πολύφατον θρόον ὕμ-νων δόνει*
*ἡσυχᾷ. βασιλῆ-α δὲ θεῶν πρέπει*
*γάπεδον ἂν τόδε γα-ρυέμεν ἁμέρᾳ*
*ὀπί· λέγοντι γὰρ Αἰακόν*
*νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,*

*ἐᾷ μὲν πολίαρχον εὐ-ωνύμῳ πάτρᾳ,* **Στρ. ε'.**
*'Ηράκλεες, σέο δὲ προπρεῶνα μὲν*
*ξεῖνον ἀδελφεόν τ'. - εἰ δὲ δεύεται*
*ἀνδρὸς ἀνήρ τι, φαῖ-μέν κε γείτον' ἔμμεναι*
*νόῳ φιλή-σαντ' ἀτενέι γείτονι χάρμα πάντων*
*ἐπάξιον· εἰ - δ' αὐτὸ καὶ θεὸς ἀνέχοι,*
*ἐν τίν κ' ἐθέλοι, Γίγαν-τας ὃς ἐδάμασσας, εὐτυχῶς*

---

73. *ἀμίαντον* coni. Hecker — 75. *πέραν* Hermann: *περ ἂν* *B D* — 77. *ἀναβάλεο* Tricl.: *ἀναβάλλεο* *B D* — 78. *κόλλα* coni. Rauchenstein: *κολλᾷ* *B D* — 81. *πολύφατον* *B D* et schol.: *πολυφάτων* Tricl. — *θρόον ὕμνων* Schmid: *ὕμνων* (*ὕμνον* *D*) *θρόον* *B D* — 83. *θαμερᾷ* *B*, *θεμερᾷ* *D*, *ἁμέρᾳ* Hermann, *εὐθρόᾳ* Schmid — 84. *ματροδόκοισι* *B D*, corr. Tricl. — 85. *ἐᾷ* coni. Hermann: *ἐμᾷ* *B D* et schol., *τεᾷ* Pauw, *ὑμᾷ* Heyne — 86. *δεύεται* $B^1$ et pars schol.: *γεύεται* $B^3$ *D*, quod Aristarchum probasse scholia tradunt — 88. *φιμίσαντ'* *D* — 89. *ἀνέχοι* Thiersch: *ἂν ἔχοι* *B D*, *ἀλέγοι* Bergk —

ναίειν πατρὶ Σωγένης - ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐυκ-τήμονα ζαθέαν ἀγυιάν·

ἐπεὶ τετραόροισιν ὥθ' - ἁρμάτων ζυγοῖς 'Αντ. ε'.
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς,
ἀμφοτέρας ἰὼν - χειρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥ-ρας πόσιν τε πειθέμεν
κόραν τε γλαυ-κώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν - δυσβάτων θαμὰ διδόμεν.
εἰ γάρ σφισιν ἐμπεδοσ-θενέα βίοτον ἁρμόσσαις
ἥβᾳ λιπαρῷ τε γή-ραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παί-δων δὲ παῖδες ἔχοιεν αἰεὶ

γέρας τόπερ - νῦν καὶ ἄρει-ον ὄπιθεν. 'Επ. ε'.
τὸ δ' ἐμὸν οὔ ποτε φά-σει κέαρ
ἀτρόποισι Νεοπ-τόλεμον ἑλκύσαι
ἔπεσι· ταὐτὰ δὲ τρὶς - τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας Διὸς Κόρινθος.

93. ὥθ' *D*: ὥσθ' *B* — 95. Ἥρας coni. Bothe: ἥραν *BD* — 96. δύνασαι δέ in parenthesi posuit Bergk — 98. σφισιν Aldina: σφιν *BD* — 101. ὄπισθεν (-θε *D*) *BD* — 103. ἀτρόπασι *D* — 104. ταὐτὰ Boeckh: ταῦτα *BD* — τετράκι Schmid: τετράκις *BD* — 105. μαψυλάκαις coni. Schneider.

## NEMEON. H'.

# ΔΕΙΝΙΔΙ ΑΙΓΙΝΗΤΗι

## ΣΤΑΔΙΕΙ

ca. 459 a. Ch.

---

### Strophae.

–́ – –́ ⏖ – – | –́ ⏑ – – –́ ⏖ – ⏖ – ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – – | –́ ⏖ ⏓
–́ ⏑ – ⏓ –́ ⏑ – – | –́ ⏑ – – –́ ⏖ – ⏖ ⏓ |
⏖ –́ ⏖ – – –́ ⏑ – –́ | ⏖ – ⏖ – ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ – | –́ ⏑ – ⏓ –́ ⏑ – ⏓ |

### Epodi.

– –́ ⏖ – ⏖ – | –́ ⏑ – – –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏖ – ⏖ ⏓ |
⏖ – –́ ⏑ –, – –́ ⏖ | – ⏖ – ⏓ –́ ⏑ ⏓ |
– –́ ⏑ – – –́ ⏑ – ⏑ ⏓
–́ ⏑ – – –́ ⏖ – ⏖ – | –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏖ – | –́ ⏑ – ⏓ –́ ⏖ – ⏖ – – |
–́ ⏑ – – –́ ⏑ – –, | –́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ ⏓ |

*Στρ. α'.*

Ὥρα πότνια, κᾶρυξ Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
ἅτε παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις

---

2. παρθενηΐοισι *B*, παρθενίοισι *D* — βλεφ. *B D* —

[NEMEON. Θ'.]

# ΧΡΟΜΙῼ ΑΙΤΝΑΙῼ

## ΑΡΜΑΤΙ

ca. 473 a. Ch.

---

Strophae.

⁝– ⏖ – ⏖ ∸ – | ⁝– ⏖ – ⏖ ∸ ⏓ |
⁝– ⏑ – ⏓ ∸ ⏑ – – | ⁝– ⏖ – ⏖ ∸ | – ⁝– ⏑ – – ∸ ⏑ ⏓ |
⁝– ⏖ – ⏖ ∸ | – ⁝– ⏖ – ⏖ ∸ – ⁝– ⏑ ⏓ |
⁝– ⏑ – ∸ ⁝– ⏖ – ⏖ ∸ – | ⁝– ⏖ – ⏖ ∸ | – ⁝– ⏑ – [– ∸ ⏑ ⏓ |
– ⁝– ⏑ – – ∸ ⏑ – | – ∸ ⏑ – ⏓ |

Στρ. α'.

Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι,
τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι,
ὄλβιον ἐς Χρομίου δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει,
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

---

3. πράσσεται (εται in ras.) D — 4. αὐδὰν: αὐχὰν coni. Hermann; παίδεσσ' ἀοιδὰν Boeckh —

Στρ. β΄.

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.
πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ᾽ ἐξευρόντα δόμεν βασάνῳ
ἐς ἔλεγχον ἅπας κίνδυνος· ὄ-
ψον δὲ λόγοι φθονεροῖσιν·
ἅπτεται δ᾽ ἐσλῶν ἀεί,
χειρόνεσσι δ᾽ οὐκ ἐρίζει.

Ἀντ. β΄.

κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν᾽ ἄγλωσσον μέν, ἦτορ δ᾽ ἄλκιμον λάθα κατέχει
ἐν λυγρῷ νείκει· μέγιστον δ᾽ αἰόλῳ ψεύδει γέρας ἀντέταται.
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσ-
σῆ Δαναοὶ θεράπευσαν·
χρυσέων δ᾽ Αἴας στερη-
θεὶς ὅπλων φόνῳ πάλαισεν.

Ἐπ. β΄.

ἦ μὰν ἀνόμοιά γε δᾴ-
οισιν ἐν θερμῷ χροῒ
ἕλκεα ῥῆξαν πελεμιζόμενοι

---

18. ὅσπερ *B*: ὥσπερ *D* — ποντίω *D* — 19. ἀναπν. *D* — 20. πολλᾷ Pauw: πολλὰ *B D* — 21. δὲ λόγοι om. Tricliniani; fort. ὄψον φθονεροῖσι δὲ μόμφοι — 23. ἀμφικυλίσαις Boeckh: ἀμφικυλίσσαις *B D* — 24. λάθαν *D* — κατέχει ἐν λυγρ. coni. Hermann: κατέχει ν λυγρ. *D*, κατέχει τε λυγρ. *B*, κάτεχεν ἐν λυγρ. Bergk — 25. ἀντέτακται *D* — 26. ψάθοις *D* — 27. ὅπλαν *D* — 29. πελεμ. coni. Wakefield Aristarchi interpretationem κινούμενοι secutus: πολεμ. *B D* —

ὑπ᾽ ἀλε-ξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ᾽ Ἀχιλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων ἐν πολυφθόροις
ἀμέραις. ἐχθρὰ δ᾽ ἄρα πάρφασις ἦν - καὶ πάλαι,
αἱμύλων μύθων ὁμόφοι-
τος, δολοφραδής, κακοποιὸν ὄνειδος·
ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
τῶν δ᾽ ἀφάντων κῦδος ἀντείνει σαθρόν.

Στρ. γ΄.

εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ κε-
λεύθοις
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος,
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πεδίον
δ᾽ ἕτεροι
ἀπέραντον· ἐγὼ δ᾽ ἀστοῖς ἁδὼν
καὶ χθονὶ γυῖα καλύψαιμ᾽
αἰνέων αἰνητά, μομ-
φὰν δ᾽ ἐπισπείρων ἀλιτροῖς.

Ἀντ. γ΄.

αὔξεται δ᾽ ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον
ᾄσσει,
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ᾽ ἐν δικαίοις τε πρὸς ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν
ἀμφὶ πόνοις

---

31. *ἐν πολυφθόροις* coni. Boeckh: *πολυφθόροισιν ἐν BD* — 33. *αἱμύλων* Tricl.: *αἱμυλίων B D* — 37. *χρυσὸν δ᾽ εὐχ. B* — 38. *καγ χθονὶ* Bergk — *καλύψαιν* coni. Bergk — 40. *αὔξονται δ᾽ ἀρεταὶ* coni. Schmid; veterem lectionem *ὕμνοισιν* glossa *αὔξεται* summotam esse suspicor — *ᾄσσει* Boeckh: *ἀΐσσει BD*, *αἴνῳ* coni. Bergk — 41. *ἐν* om. codd., add. Boeckh; *δένδρον ἀναΐσσει σοφ.* coni. Pauw — *ὑγρὰν* coni. Schmid —

ὑπερώτατα· μαστεύει δὲ καὶ
τέρψις ἐν ὄμμασι θέσθαι
πιστόν. ὦ Μέγα, τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι

οὔ μοι δυνατόν· κενεᾶν δ' *Ἐπ. γ'.*
ἐλπίδων χαῦνον τέλος·
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖ-σαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοι-δαῖς δ' ἀνὴρ
νώδυνον καί τις κάματον
θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
δὴ πάλαι καὶ πρὶν γενέσθαι
τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν.

---

43. ὄμμασ' ἰδέσθαι coni. Herwerden — 44. πιστὸν ex schol. Mommsen: πιστά *B*, πίσταν *D*, πίστιν Tricl. — 46. Χαριάδαις τε: Χαριάδαισι coni. Heyne — 46. λευρὸν coni. Herwerden — 47. ὑπερείσω coni. Hermann, ὑπερέσσαι Mezger — ποδῶν: δρόμων coni. Rauchenstein — 48. προσφόρῳ ex scholiis coni. Wiskemann — 51. τῶν τε Καδμ coni. Naber.

[ΝΕΜΕΟΝ. Θ'.]

# ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

## ΑΡΜΑΤΙ

ca. 473 a. Ch.

---

Strophae.

–̈ ⏑⏑ – ⏑⏑ –̇ –| –̈ ⏑⏑ – ⏑⏑ –̇ ⏓|
–̈ ⏑ – ⏓ –̇ ⏑ – –|–̈ ⏑⏑ – ⏑⏑ –̇| – –̈ ⏑ – – –̇ ⏑ ⏓|
–̈ ⏑⏑ – ⏑⏑ –̇| – –̈ ⏑⏑ – ⏑⏑ –̇ – –̈ ⏑ ⏓|
–̈ ⏑ – –̇ –̈ ⏑⏑ – ⏑⏑ –̇ –| –̈ ⏑⏑ – ⏑⏑ –̇| – –̈ ⏑ – [– –̇ ⏑ ⏓|
– –̈ ⏑ – – –̇ ⏑ –|– –̇ ⏑ – ⏓|

Στρ. α'.

*Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι,*
*τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξείνων*
*νενίκανται θύραι,*
*ὄλβιον ἐς Χρομίου δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον*
*πράσσετε.*
*τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ*
*διδύμοις παίδεσσιν αὐδὰν μανύει,*
*Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.*

---

3. πράσσεται (εται in ras.) *D* — 4. αὐδάν: αὐχὰν coni. Hermann; παίδεσσ' ἀοιδὰν Boeckh —

Στρ. β'.

*ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν*
*μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ' ἐπέων καυχᾶσσ'*
*ἀοιδὰ πρόσφορος.*
*ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ'*
*αὐτὰν ὄρσομεν*
*ἱππείων ἀέθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν Ἄδρα-*
*στος ἐπ' Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ*
*μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,*

Στρ. γ'.

*ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς*
*ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμ-*
*φαινε κυδαίνων πόλιν.*
*φεῦγε γὰρ Ἀμφιάρηόν τε θρασυμήδεα καὶ δεινὰν στάσιν*
*πατρῴων οἴκων ἀπό τ' Ἄργεος· ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν*
*Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.*
*κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.*

Στρ. δ'.

*ἀνδροδάμαν δ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,*
*δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν ἔσσαν*
*μέγιστοι λαγέται,*
*καί ποτ' ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀν-*
*δρῶν αἰσιᾶν*

---

7. *μηδαμᾷ* coni. Hecker — *καυχᾶσσ'* coni. Schneidewin: *καύχας BD*, *καύχαις* coni. Benedictus — 8. *αὐτὰν ὄρσομεν* coni. Schmid: *αὐτὸν ὄρσωμεν BD* — 13. *Ἀμφιάρηόν ποτε B*, unde *Ἀμφιάρην ποτέ* coni. Bergk — 14. *λύᾳ*: fort. *δύᾳ* — 16. *ἀνδροδάμαν δ'* coni. Schneidewin: *ἀνδροδάμαντ'* (*-μαδαν τ' D*) *BD*; *ἀνδροδάμαν τ' Byz.* — 17. *ἰοκλεῖδα B* — *ἔσσαν* Boeckh: *ἦσαν BD* — *λαγέται* add. Bergk, *τουτάκι* Rauchenstein, *τοὔμπαλιν* Christ — 18. αἰσιᾶν Tricl.: αἰσιῶν B, om. D —

τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
ἀγαπατὰ δὲ καιροῦ μὴ πλανα-
θέντα πρὸς ἔργον ἕκαστον
τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι·

'Αντ. α'.

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος· πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄω-
τοι περιναιεταόντων
ἤθελον κείνου γε πεί-
θεσθ' ἀναξίαις ἑκόντες,

'Επ. α'.

οἵ τε κρανααῖς ἐν 'Αθά-
ναισιν ἅρμοζον στρατόν,
οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
ἱκέτας - Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας
ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποι-κιλμέναν,
Δείνιος δισσῶν σταδίων
καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς
ὄλβος ἀνθρώποισι παρμονώτερος·

---

3. ἀμάρας *D*, ἀμέραις Hecker — ἀνάγκαις Hermann, ἀν' ἀγκὰς Schmid — 6. ποιμένος *D* — 9. ἀβ. Tricl.: κἀβ. *B D* et schol. — 12. Πελοπηϊάδαι coni. Schmid: πελοπηΐδαι *B D* — 14. φέρων: φίλων *D* — 16. Νεμεαῖον coni. Pauw.: νέμειον BD —

λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυ-
χὰς ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔειπ'· αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει
κλέπτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζο-
βόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις
ἔκρινας ἂν κίνδυνον ὀξείας ἀϋτᾶς,

Στρ. η'.

οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦροι δὲ
βουλεῦσαι φόνου
παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν
στίχας
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν κλέος
ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,

Στρ. θ'.

ἔνθα Ῥέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τῶΰτ' Ἀγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ·
τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φά-
σομαι.
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ,
τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.

---

32. *ἐντί BD*: *εἰσίν* Boeckh coll. P. v 116 — 33. *ἄνδρες* bis habet *B* — *αἰδὸς D* — 38. *ταρ ποδίον D* — 39. *μὰν B*: *μὲν D* — 41. *ἔνθα 'Ρέας* coni. Boeckh: *ἔνθ' ἀρείας BD*, utrumque schol. — fort. *καλέοντι*, cf. P. vi 13 — 42. *τωὔτ'* Leutsch: *τοῦτ' BD* — *ἀγησιδάμῳ D* — 43. *ἐγκονίᾳ* Mommsen — *χέρσῳ* (vel *χέρσον*) schol. — 45. ὄλαον D —

Στρ. ι'.

εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκ ἔνεστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας
ἐφάψασθαι ποδοῖν.
ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ· θαρσαλέα δὲ παρὰ κρα-
τῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,

ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν Στρ. ια'.
ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμ-
ψαν θεμιπλέκτοις ἅμα
Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν, ὑπὲρ
πολλᾶν τε τιμαλφεῖν λόγοις
νικᾶν, ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν.

---

46. κτεάνοισι *BD* — 47. οὐκ ἔνεστι coni. Pauw: οὐκέτι *B*, οὐκ ἔστι *D*, οὐκέτ' ἐστὶ Tricl., ἄνδρ' οὐκ ἔστι Rauchenstein, οὐκ ἔστι πρόσσωθεν Buecheler, οὐ πόρσω πόρος τις Bury, οὐκ ἔστιν πέραν τοῦ θνατὸν Mommsen — 48. ἡσυχίαν Tricl.: ἡσυχία *BD* — 49. αὐδᾶ *D* — κρατῆρα *BD*: κρητῆρι schol. ad Luciani Conv. 32, Orion 35, 15 — 51. ἀργυραίεσι *D* — 52. θεμιπλέτοις *D* — ἅμα ex scholiis Schmid: ἀμφὶ *BD* — 54. πολλᾶν scripsi: πολλῶν *BD* — τιμαλφοῖν *D* — 55. νικᾶν *BD*, νίκαν an νικᾶν probet dubitat scholiasta — σκοποῖ' Ahrens: σκοποῦ *BD*.

[NEMEON. I′]

# ΘΕΑΙΩι ΑΡΓΕΙΩι

## ΠΑΛΑΙΣΤΗι

ca. 465.

---

Strophae.

```
   ⏑⏑ – ⏑⏑ –́ ⏑ – | ⏓ –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́ |   –   –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – |⏑⏑ –́   –   –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́   ⏓ |  –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – |  –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ ⏓ ⁞
```

Epodi.

```
–́ ⏑ – – –́ ⏑⏑| – ⏑⏑ –́   –   –́ ⏑ ⏓ |
–́ ⏑ – – –́ ⏑⏑ – |⏑⏑ –́   –   –́ ⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́   – |  –́ ⏑⏑ – ⏑⏑ ⏓ |
–́ ⏑⏑ – ⏑⏑ –́   ⏓   –́ ⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏑ – | – –́ ⏑⏑ – ⏑⏑ –́   ⏓ |
⏑⏑́ ⏑ –   –́ ⏑ –   –́ |⏑⏑ – ⏑⏑ –́   – |  –́ ⏑ – – –́ ⏑ ⏓ ⁞
```

*Στρ. α′.*

*Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,*

*Ἄργος, Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ' ἀρεταῖς*
*μυρίαις ἔργων θρασέων ἕνεκεν.*
*μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·*
*πολλὰ δ' Αἰγύπτῳ τὰ κατέκτιθεν ἄστη ταῖς Ἐπάφου παλάμαις·*
*οὐδ' Ὑπερμήστρα παρεπλάγχθη, μονό-*
*ψαφος ἐν κουλεῷ κατασχοῖσα ξίφος.*

*Ἀντ. α'.*

*Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·*
*γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν*
*μάντιν Οἰκλείδαν, πολέμοιο νέφος.*
*καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·*
*Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον·*
*πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν*
*καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·*

*Ἐπ. α'.*

*θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ φέρτατος*
*ἵκετ' ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις*

---

2. *ὑμνεῖται* *D* — 4. *κακρὰ* *D* — *περσέως* *D*, *περσέ..* *B* — 5. *τὰ κατέκτιθεν* coni. Mommsen, Boeckhium *τὰ* inserentem et Hermannum *ἔκτιθεν* corrigentem secutus: *κατῴκισθεν* *B D* — 6. *ὑπερμή.* *B*: *ὑπερμνή.* *D* — *μονόψαφος* ex scholiis Hecker: *μονόψαφον* codd. — *κουλεῷ* Hermann: *κολεῷ* *BD* — 8. *βέλεϊ* *D* — 10. *γυναιξὶν* Schmid: *γυναιξὶ* *B D* — 11. *τοῦτον* ex scholiis Schmid: *τὸν* *BD*, *πιστὸν* vel *ἑτὸν* coni. Bergk — 12. *πατρὶ δ'* lemma in *D*: *πατρί τ'* codd. — 14. *ἐς ἐκ.* *B* — fort. *γαμετάν* —

*Τηλεβόας ἔναρεν· τῷ ⟨δ'⟩ ὄψιν ἐειδόμενος*
*ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν*
*σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ' Ὄλυμπον*
*ἄλοχος Ἥ-βα τελεί-*
*ᾳ παρὰ ματέρι βαίνοισ' ἔστι, καλλίστα θεῶν.*

Στρ. β'.

*βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος*
*μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι·*
*ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,*
*καὶ παλαισμάτων λάβε φροντίδ'. ἀγών τοι χάλκεος*
*δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν·*
*Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσ-*
*χεν Θεαῖος εὐφόρων λάθαν πόνων.*

Ἀντ. β'.

*ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν*
*καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν ἔδωκ' ἀρόσαι,*
*τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,*
*τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.*
*Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ ϝοι στόμα· πᾶν δὲ τέλος*

---

15. *ἔναρεν· τῷ δ' ὄψιν* coni. Hermann: *ἔναρε* (*ἔναιρε̄ B*) *τι οἱ B D*, *ἐναρόντι οἱ* ex schol. Schmid, *ἐναρόντος ὄψιν* Mommsen, *ἔναρεν*, *ϝοῖ δ' ὄψιν* Heimer — 19. *ἀργείων D* — 22. *χάλκεον* $B^s$ — 24. *ἀλία* $D^i$, *ἀλίου* $D^s$ — *Θεαῖος* Hermann: *θειαῖος B D* — *εὐφόρων* $B^i$ *D*, *εὐφρόνων* $B^s$, utrumque schol. — 26. *Μοίσαισιν* coni. Heyne: *μοίσαισί τ' B D* — *29. μὰν* ex scholiis Schmid: μὲν *B D* —

*ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ*
*προσφέρων τόλμαν παραιτεῖται χάριν.*

*Ἐπ. β'.*

*γνώτ' ἀείδω Ϝοῖ τε καὶ ὅστις ἁμιλλᾶται περὶ*
*ἐσχάτων ἀέθλων κορυφαῖς· ὕπατον δ' ἔσχεν Πίσα*
*Ἡρακλέος τεθμόν. ἁδεῖαί γε μὲν ἀμβολάδαν*
*ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ*
*κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας*
*ἔμολεν Ἥ-ρας τὸν εὐ-*
*άνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις.*

*Στρ. γ'.*

*ἕπεται δέ, Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμε-*
*τέρων,*
*εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θα-*
*μάκις.*
*ἀξιωθείην κεν, ἐὼν Θρασύκλου*
*Ἀντία τε ξύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος*
*ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο καθ' ἱππο-*
*τρόφον*

---

31. *οἱ* coni. Kayser: *θεῷ* codd. et schol. — 32. *κορυφᾶς* Schmid et unus ex scholiastis — *ὕστατον* *D* — 33. *γε* om. *D* — *ἀδείᾳ . . . ἐν τελετᾷ* v. l. schol. — 34. *νιν* om. *D* — 36. *χαλκέοις* vel *παγχαλκέοις* pro *παμποικίλοις* alter scholiasta legisse videtur — 37. *Θεαῖε* Böckh: *θειαῖε* *B D* — *πολύγνωτον γένος* codd.: *πολυγνώτῳ γένει* coni. Schmid, *πέδ' εὔγνωτον γένος* Bergk, *ἐφέπει . . . γένος* Bury; *δέκεται* Rauchenstein — 38. *σὺν* om. *B D*, ex schol. add. Schmid — 40. *ξύγγ.* Schmid: *σύγγ.* *B D* — 41. *νικαφορίαις* *Byz.*: *νικαφορίαισι* *B D* — *ὅσσοις* *D* — *Προίτοιο καθ' ἱπποτρόφον ἄστυ θάλησαν* coni. Rauchenstein: *ἱππότροφον ἄστυ τὸ Προίτοιο θάλησε* *B D*, *Προίτοιο τόδ' ἱππ. ἄστυ θάλησε* coni. Boeckh, *Προίτοιό τ' ἀν' ἱππ. ἄστυ θάλησαν* Bergk; *θάλλ.* scripsi, ut N. IV 88 —

ἄστυ θάλλησαν Κορίνθου τ' ἐν μυχοῖς,
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

Ἀντ. γ'.

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις
ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς·
ὅντε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες
καὶ Λύκαιον παρ Διὸς θῆκε δρόμῳ
σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.

Ἐπ. γ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν παρ Παμφάη
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀν-δρῶν δικαί-
ων περικαδόμενοι. καὶ μὰν θεῶν πιστὸν γένος.

Στρ. δ'.

μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ
φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις
Θεράπνας,

---

43. οἰνοραῖς *D* — 46. ἐξελέγχει *D* — 48. θῆκεν Tricl., ἔθηκε *BD* — δρόμῳ: δόμῳ coni. Bury; post δρόμῳ interpunxit Bergk — 48. ποδῶν τε χειρῶν τε *B*, ποδῶν τε χειρῶν *D*, τε prius eiec. Schmid — 49. παμφάῃ Tricl. cum schol. — 50. θαῦμ' εἰ σφίσιν ἐγγενές, ἔμμεν coni. Herwerden — 56. διῒ *BD* — νέμοντα. *D* — τάν θ' *D* — θεράπεας *D* —

*πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ*
*τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ*
*εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.*
*τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολω-*
*θεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ·*

'*Αντ*. *δ'*.

*ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει*
*ἥμενον· κείνου γὰρ ἐπιχθονίων πάντων γένετ' ὀξύτατον*
*ὄμμα· λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ*
*ἐξικέσθαν, καὶ μέγα Ϝέργον ἐμήσαντ' ὠκέως.*
*καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός· αὐτίκα γὰρ*
*ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἔναν-*
*τα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·*

'*Επ*. *δ'*.

*ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀΐδα, ξεστὸν πέτρον,*
*ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' οὔ νιν φλάσαν,*
*οὐδ' ἀνέχασσαν· ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ*
*ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.*
*Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·*

---

57. *ἀμπιμπλ*. *D* — 60. *ἀκμᾷ* coni. Pauw: *αἰχμᾷ B D*, *ἀκᾷ* coni. Bury; conf. N. VI 52 — 61. *πεδ' αὖ γ*. *D*, *πόδ' αὐγ*. *B*, *ποταυγ*. Stephanus — 62. *ἥμενον* Aristarchus: *ἥμενος B D*, *ἡμένος* vel *ἡμένως* scribendum esse coniecit Didymus, *ἡμένω* coni. Thiersch — 64. *ἐμήσαντ'* coni. Schmid: *ἐμνήσατ' B*, *ἐμνήσαντ' D* — 65. *πόθον D* — *Ἀφαρηϊάδαι* coni. Boehmer — 66. *Λήδας παῖς*: fort. *παῖς Ζηνός* — *πατρωΐῳ* Schmid: *πατρῴῳ* (*-ώω D*) *B D* — 69. *ἀνέχασσαν* Wakefield: *ἀνέχασαν B*, *ἀνέσχασαν D* — 71. *σκᾶψε* coni. Herwerden — ψιλ. D —

*ἅμα δ' ἐκαί-οντ' ἐρῆ-*
*μοι. χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων.*

*Στρ. ε'.*

*ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,*
*καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.*
*θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς*
*ὄρθιον φώνησε· Πάτερ Κρονίων, τίς δὴ λύσις*
*ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ.*
*οἴχεται τιμὰ φίλων τατωμένῳ*
*φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν*

*'Αντ. ε'.*

*καμάτου μεταλαμβάνειν. ὣς ἔννεπε· Ζεὺς δ' ἀντίος ἤλυθέ Ϝοι*
*καὶ τόδ' ἐξαύδασ' ἔπος· 'Εσσί μοι υἱός· τόνδε δ' ἔπειτα πόσις*
*σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις*
*στάξεν ἥρως. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν*
*παρδίδωμ'· εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον*

---

72. *δ' ἐκαίοντ'* Boeckh: *δὲ κέοντ' BD* — *κρασόνων D* — 73. *ἀλφεοῦ D* — *ἐχώρησεν B* — 74. *πνοὰς* Schmid: *ἀμπνοὰς B*, *ἀναπνοὰς D* — *τεθνεῶτ' D* — 75. *δὴ* Schmid: *δὲ BD*; Bergk eiecto *δὲ* proposuit *δάκρυ' ἀνὰ* (*ὑπὸ* postea Bergk, *ἅμα* Bury) *στοναχαῖς* — 77. *ἐπίτελλον B* — 78. *πόντω D* — 79. *ἤνεπε B*, *ἔνεπε D* — *ἀντίος D*: *ἀντία B* — 80. *τὸν δ' ἔπ. D* — 81. *θνατῶν* $D^{ac}$ — 82. *στάξεν* em. Pauw: *ἔσταξεν BD*, *ἔσταξ'* Tricl. —

αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν ἐμοὶ
σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει·

Ἐπ. ε΄.

ἔστι σοὶ τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ϝίσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὣς ἄρ' αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
ἀνὰ δ' ἔλυ-σεν μὲν ὀφ-
θαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος.

---

84. οὐλ. Tricl.: ὀλ. *BD* — θέλεις Tricl.: ἐθέλεις *B D*, νοεῖς coni. Kayser — οἰκεῖν ἐμοὶ om. codd., ex scholiis add. Benedictus, ναίειν ἐμοὶ add. Boeckh — 90. χαλκομ. Tricl.: χαλκεομ. *B D*.

## NEMEON. IA'.

# ΑΡΙΣΤΑΓΟΡᾼ ΤΕΝΕΔΙῼ

## ΠΡΥΤΑΝΕΙ.

---

Strophae.

∸ ⏑ – – ∸ ⏑⏑ – ⏑⏑ ∸ ⏓ ∸ ⏑ ⏓|
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑⏑ – ⏑⏑ ∸ ⏓|
∸ ⏑⏑ – ⏑⏑ ∸ – ∸ ⏑⏑ – ⏑⏑ ⏓|
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ ⏓|
∸ ⏑⏑ – ∸ ⏑ –| ∸ ⏑ – – ∸ ⏑⏑ ⏓|

Epodi.

∸ ⏑⏑ – ⏑⏑ ∸ –| ∸ ⏑⏑ – ⏑⏑ ∸|
∸ ⏑ – – ∸ ⏑⏑ – ⏑⏑ – – ∸ ⏑ ⏓|
∸ ⏑⏑ – ⏑⏑ ∸| – ∸ ⏑⏑ – ⏑⏑ ∸ ⏓|
∸ ⏑⏑ – ⏑⏑ ∸ – ∸ ⏑⏑ – ∸ ⏑ ⏓|
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ ⏓|
∸ ⏑ – ∸ ⏑ – –, ∸ ⏑⏑ – ⏑⏑ ⏓|

*Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,* *Στρ. α'.*
*Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,*
*εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,*

---

1. *πρυτανεῖς D* —

*εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,*
*οἵ σε γεραί-ροντες ὀρ-*
*θὰν φυλάσσοισιν Τένεδον,*

*Ἀντ. α'.*

*πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,*
*πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·*
*καὶ ξενίου Διὸς ἀσκεῖται θέμις ἀενάοις*
*ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος*
*δυωδεκάμη-νον περά-*
*σαι σὺν ἀτρώτῳ κραδίᾳ.*

*Ἐπ. α'.*

*ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν*
*καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.*
*εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους,*
*ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδει-ξεν βίαν·*
*θνατὰ μεμνάσθω περιστέλλων μέλη*
*καὶ τελευ-τὰν ἁπάντων γᾶν ἐπιϝεσσόμενος.*

*Στρ. β'.*

*ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεών,*
*καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς.*
*ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν*
*ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον*

---

4. *ἀγλαῶ σκάπτω B D* — *πύλας B* — 6. *λοιβαῖσιν Byz.*: *λοιβαῖς B D* — 8. *Θέμις* Boeckh, *θέμις* vulgo — 10. *περᾶσαί νιν* coni. Hartung — 11. *ἀνδρὸς ἐγὼ* olim conieceram — *ἀγησίλαν B* — 12. *ἀρτεμίαν* coni. Schneider — 13. *μορφᾷ παραμεύσεται ἄλλους* ex scholiis Pauw: *μορφᾶ παραμεύσεται* (*παραμέμψεται B*) *ἄλλων B D*, *μορφὰν παραμεύσεται ἄλλων* coni. Boeckh — 14. *ἐπιδείξῃ* coni. Breyer — 17. *ἀγαθοῖσί μιν* coni. Mingarelli: *ἀγαθοῖς μὲν B D*, *ἀγανοῖσί μιν* coni. Hecker coll. P. IV 101 — 18. *μελισδούπ. B* — *λαιδ. D* — *μελιζέμεν B D*: *μελίζεν* coni. Pauw, *μέλειν ἐν* Hermann[3], *μεμίχθ' ἐν* Mommsen — 19. *περικτυόν. D* —

*ἐστεφάνω-σαν πάλᾳ*
*καὶ μεγαυχεῖ παγκρατίῳ.*

*ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν* 'Αντ. β'.
*ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.*
*ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ*
*καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου*
*κάλλιον ἂν - δηριών-*
*των ἐνόστησ' ἀντιπάλων,*

*πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον* 'Επ. β'.
*κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις*
*ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι*
*ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμ-φθέντ' ἄγαν*
*ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν*
*χειρὸς ἕλ-κων ὀπίσσω θυμὸς ἄτολμος ἐών.*

Στρ. γ'.
*συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι*
*αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ*
*Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·*
*καὶ παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον*
*ἐκ Μελανίπ-ποιο μά-*
*τρωος. ἀρχαῖαι δ' ἀρεταὶ*

Αντ. γ'.
*ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·*
*ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,*

---

21. *μεγαυχεῖ* coni. Schmid: *μεγαλαυχεῖ* codd. — 22 et 23 om. *D* — 26. *ἐνοστήσαντ' ἀντ. D* — 28. *ἀνδησ.* Tricl.: *ἀναδησ.* *B D* — 30. *ἔλαβον B* — 33. *μὰν* coni. Pauw: *λίαν B D* et schol. — 35. *χαλκεντέα* coni. Schmid: *χαλκέων τε B*, *χαλκεντέων D* — *ἀνάτων* D — 36. *ἰσμιν. D* — *ῥοᾶν* Bergk: *ῥοὰν* vulgo — 38. *ἀλασσ.* D —

*δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις*
*ἄνθος εὐῶδες φέρειν πλούτῳ ϝίσον,*
*ἀλλ' ἐν ἀμεί-βοντι. καὶ*
*θνατὸν οὕτως ἔθνος ἄγει*

*Ἐπ. γ'.*

*μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται*
*τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐν βαίνομεν,*
*ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ*
*ἐλπίδι γυῖα· προμαθείας δ' ἀπόκειν-ται ῥοαί.*
*κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·*
*ἀπροσίκ-των δ' ἐρώτων ὀξύτεραι μανίαι.*

---

40. *πάσ' ἐτέων B* — *περόδοις* Schmid coll. fr. 314: *περιόδοις B D* — 41. *πλούτῳ* om. *B* — 42. *οὕτως ἔθνος* ex scholiis Heyne: *οὕτω σθένος B D* — 44. *μεγαλον. D* — *ἐν βαίνομεν*: *ἐμβαίνομεν BD* — 46. *γυῖα*: *λῆμα* coni. Hartung — 48. *ἔρωτες ὀξύτεροι* coni. Hartung.

# ΙΣΘΜΙΟΝΙΚΑΙΣ.

## Α'.

# ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι

### ΑΡΜΑΤΙ

ca. 458 a Ch.

---

Strophae.

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓|
–́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⏓|
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓|
–́ ⏑⏑ – ⏑⏑ ⏓
⏓ –́ ⏑ –|– –́ ⏑⏑ – ⏑⏑ ⏓|
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –́ ⏑⏑ –| –́ ⏑ – – –̀ ⏑ –

Epodi.

– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –|– –́ ⏑ ⏓|
–́ ⏑⏑ – ⏑⏑ – – –́|⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓|
–́ ⏑⏑ – ⏑⏑ – –|–́ ⏑ – – –̀ ⏑⏑ ⏓|
– –́ ⏑ – – –̀ ⏑⏑ – –́ ⏑ –|– –̀ ⏑ – ⏓|
– –́ ⏑ – – –̀ ⏑ –|⏓ –́ ⏑⏑ – ⏑⏑ –|– –́ ⏑ – – –̀ ⏑ – ⏓|

*Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,* **Στρ. α'.**
*πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον*

---

*1. ἀμᾶ B —*

θήσομαι. μή μοι κραναὰ νεμεσάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι.
τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;
εἶξον, ὦ 'πολλωνιάς· ἀμφοτερᾶν
τοι χαρίτων - σὺν θεοῖς ζεύξω τέλος,

καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων — Ἀντ. α'.
ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ
δειράδ'· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος, ἐν ᾇ
καὶ τὸν ἀδεί-μαντον Ἀλκμήνα τέκεν

Ἐπ. α'.

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρίξαν κύνες.
ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἀνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντι, θέλω
ἢ Καστορείῳ ἢ Ἰολά-
οι' ἐναρμόξαι νιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ
Θήβαις ἐτέκνωθεν κράτιστοι.

ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων, — Στρ. β'.
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον

---

3. θάσομαι *D* — 4. ἐν ᾇ τέταμαι coni. Hartung, ἐν ἂν κέχυμαι coni. Herwerden — 5. ἀγαθοῖο *D* — 6. ἀμφοτέροις *D*, -τέραν *B*, -τέρων lemma *B* — 8. Κείω *D* — ἀμφιρρύτᾳ *B* — 9. ἁλιερκέος coni. Hermann; at cf. I. I 32, VI 5, fr. 122, 10 — 11. ἓξ ὤπασε *BD*: ἐξώπασεν Aristarchus, ἓξ ὤπασαν lemma in *D* — 15. νωμάσαντι θέλω coni. Wiskemann: νωμάσαντ' ἐθέλω codd. et schol.; cf. I. VI 43 — 16. Ἰολάοι' Mommsen: ἰολάου *BD* — 18. ἀέθλοισι θίγον: στεφάνοισι θίγον schol. ad

*καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ,*
*γευόμενοι στεφάνων*
*νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ*
*ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν*
*τ' ἀσπιδοδού-ποισιν ὁπλίταις δρόμοις·*

*οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς,* 'Αντ. β'.
*καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν.*
*οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ' ἐφ' ἑκάστῳ*
*ἔργματι κεῖτο τέλος.*
*τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις*
*ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρ-*
*κας ἔφανεν - καὶ παρ' Εὐρώτᾳ πέλας,*

'Επ. β'.
*'Ιφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,*
*Τυνδαρίδας δ' ἐν 'Αχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.*
*χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι 'Ισθμῷ τε ζαθέᾳ*
*'Ογχηστίαισίν τ' αἰόνεσ-*
*σιν περιστέλλων ἀοιδάν,*
*γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν*
*'Ασωποδώρου πατρὸς αἶσαν,*

---

I. IV 18 — *θίγον*: *μίγεν* coni. Wiskemann — 20. *λεβήταισι B*, *λεβήτεσι D* — 21. *σευόμενοι D* — 23. *γυμνοῖσι* Tricl.: *γυμνοῖς BD* — *ἀσπιδόσιν πεισιν* (aut . . . *πασιν*) *D* — 24. *οἷά τε B* et schol.: *οἷς τε D* — *αἰχμαῖς* et *λιθίνοις* . . . *δίσκοις* (*δίσκοισιν D*) codd.: *αἰχμὰς* et *λιθίνους* . . . *δίσκους* Pauw — 25. *ὁπότε BD*: *ὁπόταν* Eustath. Od. 1591, 30, *ποτ' ἀνὰ* Ammonius p. 41, *ὁπότ' ἐν* Boeckh, *ὁπότ' αὖ* Kayser, *ὁπότεν* Vogt — 26. *ἦν* Rom.: *ἠ* ε̄ *B*, *ἧς D*, *ἧς* lemm. *D* fortasse recte — *πεντάθλιον* coni. Boeckh: *πένταθλον BD* — 28. *ἀθρόους D* — 29. *ῥεέθροσί τε D* — *ἔφανεν* coni. Schmid: *ἔφανε BD* — *εὐρώτα BD* et schol., *Εὐρώτα πόρῳ* coni. Herwerden — 32. *Ποσειδάωνί τ' ἰσθμῷ* coni. Mingarelli — 34. *αἶσαν*: *αἶγαν D* —

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν, Στρ. γ΄.
ἅ νιν ἐρειπόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας. ὁ πονή-
σαις δὲ νόῳ - καὶ προμάθειαν φέρει.

εἰ δ' ἀρετᾷ 'ντέταταί τις πᾶσαν ὀργάν, Ἀντ. γ΄.
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ,
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰ-
πόντ' ἀγαθὸν - ξυνὸν ὀρθῶσαι καλόν.

Ἐπ. γ΄.
μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος τράφει·
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται.
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμί-
ζων ἄρηται κῦδος ἁβρόν,
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται πολιατᾶν
καὶ ξένων γλώσσας ἄωτον.

---

36. *ἐρειπόμενον* coni. Hartung: *ἐρειδόμενον* *B D* — *ναυαγίοις* coni. Schmid, *ναυαγίᾳ* schol. — 41. *ἀρετᾷ* *B D* Aristarchus: ante Aristarchum *ἀρετά* scriptum fuisse videtur — *'ντέταταί τις* scripsi: *κατάκειται* codd. et schol., *καταθῇ τις* coni. Hartung; *ἐν δ' ἀρετᾷ τέτατ' εἴ τις* Jurenka — 42. *δαπάναις* Tricl.: *δαπάναισι* (*-νεσι D*) *B D* — 47. *ἄλλοις ἄλλος* Tricl.: *ἄλλος* (omisso *ἄλλοις*) *B*, *ἄλλος ἄλλοις D* — *ἅρμασιν D* — *ἀνθρώποις* Tricl.: *ἀνθρώποισι B D* — 48. *τράφει B*: *τρέφει D* — 49. *ἀμύνειν* coni. Herwerden — 51. *δέκεται* coni. Boeckh: δέ-

*ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν* Στρ. δ'.
*γείτον' ἀμειβομένοις εὐεργέταν*
*ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,*
*καὶ σέθεν, Ἀμφιτρύων,*
*παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν*
*καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευ-*
*σῖνα καὶ Εὔ-βοιαν ἐν γναμπτοῖς δρόμοις·*

*Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν* Ἀντ. δ'.
*ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.*
*πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς*
*Ἡροδότῳ ἔπορεν*
*ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων*
*ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσω-*
*παμένον εὐ-θυμίαν μείζω φέρει.*

Ἐπ. δ'.
*εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς*
*Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις*
*Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα, τιμὰν ἑπταπύλοις*
*Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔν-*
*δον νέμει πλοῦτον κρυφαῖον,*
*ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀίδᾳ τελέων οὐ*
*φράζεται δόξας ἄνευθεν.*

---

*χεται* BD — 53. *ἀμοιβ.* D — 54. *ἱπποδρομίων* coni. Rauchenstein — 61. *Ἡροδότοιο πόρεν* coni. Mommsen — *ἔμπορεν* B — 63. *σεσιγαμένον* coni. Hermann; cf. O. XIII 87 — *εὐυμνίαν* coni. Naber — 64. *πτερύγεσιν* BD — *ἀγλααῖς* Tricl.: *ἀγλαΐαισι* B, *ἀγλααῖσι* D — 65. *πυθόθεν* BD — 66. *χεῖρα*: fort. *κρᾶτα* — 68. *ἀλαοῖσι* coni. Chrysippus — *ἐμπαίζων* coni. Rauchenstein, *ἄλλοις δ' ἐνιλλώπτων* Bergk.

ΙΣΘΜΙΟΝ. Β'.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

ΑΡΜΑΤΙ

ca. 470 a. Ch.

---

Strophae.

– –́ ⏖ – ⏖ – ⏒,| –́ ⏑ – – –́ ⏑ ⏓|
–́ ⏑ – – –́ ⏑ –| –́ ⏑ – – –́ ⏖ – ⏖ –|
–́ ⏑ – – –́ ⏑ – ⏓| –́ ⏖ – ⏖ – ⏓|
–́ ⏖ – ⏖ –́ ⏓ –́ ⏑ – ⏓|
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓|

Epodi.

–́ ⏖ – ⏖ –,| – –́ ⏖ – ⏖ – ⏓ –́ ⏑ ⏓|
–́ ⏖ – ⏖ – – –́ ⏑ – –|
–́ ⏑ – – –́ ⏑ – ⏓|
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏖ ⏓|
–́ ⏑ – – –́ ⏖ – ⏖ –|
–́ ⏑ ⏖ – –́ ⏑ – –|

*Στρ. α'.*

*Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων*
*ἐς δίφρον Μοισᾶν ἔβαι-*
*νον κλυτᾷ φόρμιγγι συναντόμενοι,*

---

1. οἳ ex scholiis Pindari et Aristophanis Pac. 696 rest. Schmid: *ὅσοι BD* — 2. *ἐς δίφρον B*[s] *D*: *ἐν δίφρῳ* B[1], unde

ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

Ἀντ. α'.

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·
οὐδ' ἐπέρναντο γλυκεῖ-
αι μελιφθόγγου ποτὶ Τερψιχόρας
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι
ῥῆμ' ἀλαθείας ὁδῶν ἄγχιστα βαῖνον,

Ἐπ. α'.

Χρήματα, χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θ' ἅμα λει-
φθεὶς καὶ φίλων.
ἐσσὶ γὰρ ὢν σοφός, οὐκ ἀγνῶτ' ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
πέμπεν ἀναδεῖσθαι σελίνων,

Στρ. β'.

εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς
εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν

---

ἐν δίφρον veterem lectionem fuisse suspicor — συναντώμενοι B — 6. μοῦσα BD — τότ' D: ποτ' B et schol. Aristoph. l. l. — 7. ἐπέρνατο B — μελιφθόγγου coni. Heyne collato O. VI 21. μελίφθογγοι B D et schol. — 8. ἀγυρ. D, ἀργυρωθείσας coni. Gurlitt — 9. τὸ om. BD, ex schol. add. Heyne — 10. ἀληθ. BD — ὁδῶν add. Hermann, στάθμας Schnitzer, ἀνήρ, σποποῦ, ἑτᾶς Bergk — 11. θ' ἅμα BD: θαμά Boeckh — 12. ἀγνῶτ' B: ἄγνωτ' D, utrumque schol., ἀγνὼς coni. Bornemann — 15. αὐτῷ: αὖον susp. Bergk — κόμᾳ Boeckh: κόμα BD, κόμαν coni. Ceporinus — 16. ἀναδ. Schmid: ἀνδ. BD — 18. εὐρυσθενὴς codd., εὔφρων ἄναξ coni. Kayser —

*καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς*
*ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη*
*ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,*

*Ἀντ. β'.*

*τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἁνίαις.*
*ὅντε καὶ κάρυκες Ὡ-*
*ρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα*
*Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·*
*ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ*
*χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας*

*Ἐπ. β'.*

*γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς*
*ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου*
*παῖδες ἐν τιμαῖς ἔμιχθεν.*
*καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι*
*οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,*
*οὔτε μελικόμπων ἀοιδᾶν.*

*Στρ. γ'.*

*οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,*
*εἴ τις εὐδόξων ἐς ἀν-*
*δρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.*
*μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν*
*Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν*
*ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,*

---

19. *κλειναῖς δ' Ἐρ.* coni. Heyne: *δ'* om. *BD* et schol., quo probato ante *καὶ τόθι* interpungunt; *ἀγλαΐαν. καὶ τόθι κλειναῖς τ' Ἐρ.* coni. Bergk — 22. *νεῖμ' ἀπάσαις* coni. Pauw: *νωμᾷ πάσαις* codd. — 23. *ἀνέγνων B D* — 24. *Ἀλείου* schol. — 25. *ἀσπάζοντο* ex *ἀσπάζονται* corr. *B* — 26. *πίτνοντο D*, *πιτνῶντα* ed. Cratandr. — 34. *ἄγοι D*: ἄγει vel ἄγοι B — 36. *ξεινοκρ. B D* —

’Αντ. γ'.

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
καὶ θεῶν δαῖτας προσέπ-
τυκτο πάσας· οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ’ ἱστίον ἀμφὶ τράπεζαν·
ἀλλ’ ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείας,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν.

’Επ. γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται
ϝελπίδες,
μήτ’ ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ’ ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
ταῦτα, Νικάσιππ’, ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

---

38. πανελλάνῳ *D* — 39. δαῖτας ex scholiis ed. Morell.: διαίτας *B D* — προσέπνυκτο *D* — 40. οὔριος πνεύσαις coni. Hermann — ὑπέστειλεν ἱστ. *B D* — 41. φάσιν ex φράσιν *B* — θερείας coni. Hecker (conf. Herod. I 189): θερείαις *D*, θερίαις *B*, θέρειος coni. Wilamowitz — 42. πλέον *B* — ἀκτάν *B D*: ἀκτάς ex scholiis Ald., ἀγάς ex schol. Schneidewin — 43. ἀμφικρέμονται *D* — 44. σιγάσω coni. Hartung — 45. μὴ δὲ *B D*: μήτε coni. Heyne — 46. ἐλινύσσ. *D* — 48. ξένον *B*.

## ΙΣΘΜΙΟΝ. Γ' Δ'.

# ΜΕΛΙΣΣΩι ΘΗΒΑΙΩι

## ΙΠΠΟΙΣ ΠΑΓΚΡΑΤΙΩι

**ca. 475 et 476 a. Ch.**

---

### Strophae.

–́ ⏑ – ⏓ –́ ⏑ – ⏓ | –́ ⏑ – – –́ ⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏖ – | ⏖ – ⏓ –́ ⏑ ⏓ |
–́ ⏖ ⏖ ⏖ – ⏓ –́ ⏑ – ⏓ |
–́ ⏖ – ⏖ – – –́ ⏑ – ⏓ |
–́ ⏑ – – –́ ⏑ – – | –́ ⏖ – ⏖ –́ ⏖ – | –́ ⏑ – ⏓
–́ ⏑ – – | –́ ⏑ – – –́ ⏑ – ⏓ |

### Epodi.

–́ ⏖ – ⏖ – | – –́ ⏖ ⏓ |
–́ ⏖ – ⏖ – ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ ⏓ |
–́ ⏑ – ⏓ –́ ⏑ – |
–́ ⏖ – ⏖ – ⏓ | –́ ⏑ – – –́ ⏑ – – | –́ ⏑ – ⏓ –́ ⏑ ⏓ |
–́ ⏖ – ⏖ – | –́ ⏑ – ⏓ –́ ⏑ – | – –́ ⏑ – – –́ ⏑ ⏖ –
\–́ ⏑ ⏓\

Στρ. α'.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλαγίαις δὲ φρένεσσιν
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.

Ἀντ. α'.

εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ στεφάνους, τὰ δὲ κοί-λᾳ λέοντος
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν

Ἐπ. α'.

ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις.
αἰὼν δὲ κυλινδομέναις
ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν· ἄτρωτοί γε μὰν παῖδες θεῶν.

---

11. βάσσαισιν B — 12. βαθυστέρνου codd.: βαθυστέρνῳ ex scholiis Bergk — 17. Λαβδακίδαισι ξυνν. Mommsen — πλούτου BD: πλούτῳ coni. Pauw — διέστιχον BD, διέστειχον Hermann: διέστιλβον coni. Bulle — 18. ἄλλ' ἄλλοι τ' B —

[IV.]

*Στρ. β'.*

*Ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος,*
*ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις,*
*ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·*
*αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ*
*σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος. ἄλλοτε δ' ἀλλοῖος οὖρος*
*πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.*

*Ἀντ. β'.*

*τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται*
*πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ*
*ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται*
*μαρτύρια φθιμένων ζωῶν τε φωτῶν*
*ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος· ἀνορέαις δ' ἐσχάταισιν*
*οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις·*

*Ἐπ. β'.*

*καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν.*
*ἱπποτρόφοι τ' ἐγένοντο,*
*χαλκέῳ τ' Ἄρει ϝάδον.*
*ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ*
*τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·*

---

19. carmen quartum cum tertio cohaeret in *D*, vacuo loco ab eo separatum est in *B* — 20. *ἔφανας Byz.*: *ἔφανες BD* — *Ἰσθμίοις ὑμετέρας* om. *D* — 23. *βιότου* coni. Schneidewin: *βίου B D*, *τὸ βίου* Tricl. — 25. *ὦν B*: *ὧ D* — 26. *ἀμφικτυ. D* — *τ'* abesse malo — 31. *καὶ μηκέτι* codd.: fort. *τᾶν μηκέτι*, *ὧν μηκέτι μακρότερ' ἦν* coni. Hartung, *ὡς μηκέτι* Naber — 33. *τ'* om. *D* —

*νῦν δ' αὖ μετὰ χειμερίων*
*ποικίλα μηνῶν ζόφον χθὼν ὥτε φοινικέοισιν ἄν-*
*θησεν ῥόδοις*

Στρ. γ'.

*δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων*
*καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,*
*τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον*
*ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν*
*εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν, ἀλλ' ἀνεγειρομένα*
*χρῶτα λάμπει,*
*Ἀωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·*

Ἀντ. γ'.

*ἅ τε κὴν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν*
*ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν*
*τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν.*
*οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον*
*καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ*
*χαῖρον ἵππων.*
*τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί.*

*ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων,* Ἐπ. γ'.
*πρὶν τέλος ἄκρον ἱκέσθαι·*
*τῶν τε γὰρ καὶ τῶν διδοῖ.*
*καὶ κρέσσον' ἀνδρῶν χειρόνων*

---

36. *χειμερίων ποικίλα* coni. Hartung: *χειμέριον ποικίλων* *BD* — *ὥτε* *D*: *ἅτε* *B*, *ᾇτε* Pauw — *ἄνθησε* *B*: *ἄνθος* *D* — 42. *ἀωσφ.* *B*: *ἑωσφ.* *D* — 43. *κὴν* *D*: *κεὶν* *B*, *κὰν* Boeckh — *νικᾶν* et *νίκαν* agnoscunt scholia, *νίκαν . . . ὤπασεν. τοιάδε* Mommsen — 45. *ἀοιδᾶν* *B* et schol.: *ἀοιδάν* *D*, *ἀοιδᾶν* Tricl. — 48. *ἄγνωστοι* *B D*: *ἄγνωτοι* Mommsen — 50. *ἄκρον* om. *B* — 51. *διδοῖ τέλος* *B D*, *τέλος* eiec. Tricl. —

ἔσφαλε τέχνα καταμάρψαισ'. ἴστε μὰν Αἴαντος ἀλκάν,
φοίνιον τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ϝῷ
φασγάνῳ μομφὰν ἔχ' ἐν παίδεσσιν Ἑλλάνων, ὅσοι
Τρῴανδ' ἔβαν.

Στρ. δ'.

ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
εἴ τις εὖ ϝείπῃ τι· καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ
διὰ πόν-τον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

Ἀντ. δ'.

προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν
ὕμνων
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
ἐν πόνῳ, μῆτιν δ' ἀλώπηξ, αἰετοῦ ἅ τ' ἀναπιτναμένα
ῥόμβον ἴσχει·
χρὴ δὲ πᾶν ἔρδοντα μαυρῶσαι τὸν ἐχθρόν.

---

53. *τέχνα D*: *τέχνᾳ B* — *καταμάρψαισ'* codd.: *καταμάρψαι* ex scholiis Mommsen coll. P. IV 146 — *μὰν B*: *καὶ D* — *ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ* vulgo: interp. corr. Madvig. — 54. *ἔχ' ἐν* coni. Bergk: *ἔχει* codd. — *παίδευσιν D* — 58. *ἕρποι D* — 59. *πόντον* coni. Naber — 63. *ἔρνει. Τελεσιάδᾳ τολμ.* nonnullos interpunxisse testantur scholia — *τόλμᾳ* (α) . . . *θυμὸν B D*: *τόλμαν ὅμοιος* . . . *θυμῷ* coni. Kayser, *τόλμαν* . . . *θυμῷ* coni. Hartung — 64. *θηρῶν* Heyne: *θηρᾶν* codd., *θηρᾷ* alterum scholium — 66. *πὰν ϝέρδ.* Schroeder — *ἔρδοντα μαυρ.* Boeckh: *ἔρδοντ' ἀμαυρ.* codd. —

οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν· Ἐπ. δ'.
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ' αἰχμᾷ βαρύς.
καίτοι πότ' Ἀνταίου δόμους
Θηβᾶν ἀπὸ Καδμεϊᾶν μορφὰν βραχύς, ψυχὰν δ'
ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνήρ,
τὰν πυροφόρον Λιβύαν,
κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα
σχέθοι,

Στρ. ε'.
υἱὸς Ἀλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε πάσας
καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον
ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων φίλος, Ἥ-
βαν τ' ὀπυίει,
χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.

Ἀντ. ε'.
τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ
καὶ νεόδματα στεφανώματα βωμῶν, αὔξομεν
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς Μεγάρα τέκε ϝοι Κρειοντὶς υἱούς·
τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς
παννυχίζει,
αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ·

---

69. αἰχμᾷ (αἰχμᾶ D) B D, ἀκμᾷ coni. Pauw — 71. ἄκαμπτος D et schol.: ἄκομπος B — 72. ξείνων B D — Ποσειδᾶνος σφ' ἐρέπτοντα coni. Hermann probabiliter — 74. βαθύκρημνον coni. Heyne probabiliter — 74. θέναι D — 75. πορθμὸν codd. et schol.: πορθμοὺς Schmid — 76. αἰγιόχῳ διὶ B D, διὶ eiec. Tricl. — 77. ὀπύει B, ὀπήει D — 82. τέκεν οἱ coni. Schmid: οἱ τέκε B D$^{pc}$, τέκε (om. οἱ) D$^{ac}$ — Κρειοντὶς Schmid: Κρεοντὶς codd. — υἱῆς D — 83. ἀναπελλ. D — 84. πλακτίζοισα Hecker

καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων 'Επ. ε'.
γίνεται, ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα
μύρτοις ὅδ' ἀνὴρ διπλόαν
νίκαν ἀνεφάνατο καὶ παίδων τρίταν πρόσθεν, κυ-
βερνατῆρος οἰακοστρόφου
γνώμᾳ πεπιθὼν πολυβού-
λῳ. σὺν 'Ορσέᾳ δέ νιν κωμάξομαι, τερπνὰν ἐπι-
στάζων χάριν.

---

— αἰθέρα: ἀέρα Plut. de prim. frig. 10 — κνισᾶντι *B D* — 85. τέρμ' ἀέθλων Schmid: ἀέθλων τέρμα *B D* — 87. λευκανθὴς coni. Hecker — 89. καὶ παίδων τρ. coni. Mommsen: παίδων τρ. *B D*, παίδων τὴν τρ. Tricl., παίδων τε τρ. coni. Hermann, παῖς δ' ἐὼν τρ. Jurenka — 90. πεπιθὼς coni. Hartung, πίσυνος Hermann — κωμάζομαι *B* — ἐπιστάζων Tricl.: ἀποστάζων *B*, ἐπιστοχάζων *D*.

## ΙΣΘΜΙΟΝ. Ε΄.

# ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

### ΠΑΓΚΡΑΤΙῼ

ca. 474 a. Ch.

---

### Strophae.

⁝– ⏑ – ⏓ ⁝– ⏑⏑ – ⏑⏑ – ⏓|
⏑̇⏑ ⏑ – ⏓ –̇ ⏑ – – ⁝– ⏑⏑ ⏓|
⁝– ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ – ⏓|
⁝– ⏑⏑ – ⏑⏑ ⏓|
⁝– ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ – –|
⏑⏑ ⏑ – – –̇ ⏑ – –,| ⁝– ⏑ – – –̇ ⏑⏑ –| ⁝– ⏑ – – –̇ ⏑ .

### Epodi.

⁝– ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ – ⏓|
⁝– ⏑ – – –̇ ⏑ – – –̇ ⏑ –|
⁝– ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ ⏓|
⁝– ⏑ – –̇ ⏑⏑ ⏓|
–̇ ⏑ – – –̇ ⏑ – – ⁝– ⏑⏑ –|
⏑⏑ ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ – –|
–̇ ⏑ – ⏓ ⁝– ⏑⏑ – ⏑⏑ ⏓|
⁝– ⏑⏑ – ⏑⏑ –̇|⏑⏑ – – –̇ ⏑ –\
⁝– ⏑⏑ – ⏑⏑ –|– ⁝– ⏑ – ⏓\

Μᾶτερ Ἀελίου πολυώνυμε Θεία, Στρ. α'.
σέο ϝέκατι καὶ μεγασθενῆ νόμισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·
καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι
διὰ τεάν, ὦ 'νασσα, τιμὰν ὠκυδινάτοις ἐν ἁμίλλαισι θαυμασταὶ πέλονται·

ἐν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν Ἀντ. α'.
κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν
ἢ ταχυτᾶτι ποδῶν.
κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ,

εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ. Ἐπ. α'.
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
θνατὰ θνα-τοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,
Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν,
Πυθέα τε, παγκρατίου. τὸ δ' ἐμὸν

---

2. σέο ϝέκατι: σέο γ' ἕκατι *B D*, γ' ignorant scholia, expulit Bergk — 5. ὑφ' ἅρμασιν ex scholiis Bergk: ἅρμασι (sine praepos.) *D*, ἐν ἅρμασι *B* — 6. ὠκυδινάτ. *BD*: cf. P. xi 38, ὠκυδινήτ. Mommsen — θαυμαστοὶ schol. — 8. ἔπραξεν codd. et schol. ad v. 9: ἔπραξαν schol. ad v. 2 — 9. ἐθείρας coniunctis versibus 3 et 4 coni. Ahlwardt — 11. δαίμονας codd. et schol.: δαίμονος coni. Heyne collato P. iv 279 — 12. ἄλπνιστον v. l. in schol.: ἀνέλπιστον *B D* — 13. λόγῳ ἐσλὸς coni. Hecker — ἀκούῃ *B*: ἀκούσῃ *D* — 16. θνατοῖσι Tricl.: θνατοῖς *BD* — 19. Πυθέα τε *BD*: Πυθέᾳ τε Tricl. —

*οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·*
*σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς*

*τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται* Στρ. β'.
*θεοδότων ἔργων κέλευθον ἂν καθαράν,*
*μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ*
*κιρνάμεν ἀντὶ πόνων.*
*καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ*
*λόγον ἐκέρδαναν, κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐ-*
*λῶν τε παμφώνοις ὁμοκλαῖς*

*μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς* Ἀντ. β'.
*Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι.*
*ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς*
*Οἰνεΐδαι κρατεροί,*
*ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος*
*γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει, Κάστορος δ' αἰχμὰ Πολυδεύ-*
*κεος τ' ἐπ' Εὐρώτα ῥεέθροις·*

*ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ* Ἐπ. β'.
*Αἰακοῦ παίδων τε. τοὶ καὶ σὺν μάχαις*
*δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι*
*Ἡρακλῆ-ι πρότερον,*
*καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν.*

---

23. *ἀνὰ D* — 24. *ἀοιδᾶς* vel *ἀοιδᾶν* mavult Bergk — 25. *κιρνάμεν Byz.*: *κιρνάμεναι BD* — 27. *φορμίγγεσιν BD* — 31. *κρατεροί* Tricl.: *καρτεροί BD* — 36. *ἑσπόμενοι B*: *ἑπόμενοι D*; *ἔπραθον σπόμενοι* coni. Bergk; at cf. I. VI 17. O. VIII 11. IX 83. P. IV 40 — 37. *ἡρακλῆϊ* Tricl.: *ἡρακλεῖ B D*; *Ἡρακλεῖ τε πρότερον* coni. Hartung — 38. *ἀτρείδαις* Tricl.: *ἀτρείδαισιν B D* — *παιδόθεν D* —

*λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,*
*καὶ στράταρχον Αἰθιόπων ἄφοβον,*
*Μέμνονα χαλκοάραν; τίς ἄρ' ἐσλὸν Τήλεφον*
*τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις;*

*τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν* Στρ. γ'.
*διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι*
*πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.*
*πολλὰ μὲν ἀρτιεπὴς*
*γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων*
*κελαρύσαι· καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι κεν πόλις Αἴ-*
*αντος ὀρθωθεῖσα ναύταις*

*ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ,* Ἀντ. γ'.
*ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.*
*ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ·*
*Ζεὺς τά τε καὶ τὰ νέμει,*
*Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ*
*μέλιτι καὶ τοιᾷδε τιμᾷ καλλίνικον χάρμ' ἀγαπά-*
*ζοντι. μαρνάσθω τις ἔρδων,*

*ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου* Ἐπ. γ'.
*ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς*
*μόχθος ἀνδρῶν, οὐδ' ὁπόσαι δαπάναι*

---

41. *χαλκοαρᾶν* mavult Bergk — *ἄρ'* coni. Schmid: *γὰρ* *BD* — 42. *Μυσίαις παρ' ὄχθαις*, vel *ᾧ δορὶ τρῶσε παρ' ὄχθαισιν Καΐκου* coni. Hermann, *ᾧ δορὶ τρῶσε Καϊκείοις παρ' ὄχθαις* Bergk; de licentia nominum propriorum conf. P. XII 12 — 44. *τετείχηται* v. l. fr. 321 — *πάλιν* *B* — 48. *κελαρύσαι* coni. Bergk: *κελαδῆσαι* codd., *κελαδέειν* Boeckh — 50. *ἰσαρίθμων* legebat scholiasta — 52. *τά τε* Boeckh: *τάδε* *BD* — 54. *τοιᾷδε τιμᾷ* v. l. in scholiis: *τοιαῖδε* (*τοιαίδε* *D*) τιμαί BD — δέ τις BD, *δὲ* eiec. Tricl. —

ἐλπίδων - ἔκνισ' ὄπιν.
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι,
χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.
λάμβανέ ϝοι στέφανον, φέρε δ' εὔμαλλον μίτραν,
καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.

---

58. ἐκπίδ. *D* — ἔκνισ' ὄπιν Cratandrina: ἔκνιξ' ὄπιν *B*, ἔκνιζ' ὄπιν *D*, ἔκνισ(α) ὀπί Aristarchus, ἐξέπεσον coni. Rauchenstein — 59. ἐν γυιοδάμαις (γηοδ. *D*) *B D*, fort. ἢ γυιοδαμᾶν — 60. Φυλακίδᾳ Schmid: φυλακίδα *B*, φυλακίδαν *D* — εὐθυπορῆσαι *B D*: εὐθυπονῆσαι Rom. — 61. νόων *D* — 63. νέον *B*: νόον *D* — σύμπεψον *B*.

## ΙΣΘΜΙΟΝ. ϛʹ.

# ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

## ΠΑΓΚΡΑΤΙῼ

ca. 480 a. Ch.

---

### Strophae.

– :– ⏑ – – :– ⏕ – ⏕ – |

:– ⏑ – – ·– ⏑ – – :– ⏕ – |

:– ⏑ – – ·– ⏑ – – | :– ⏕ – ⏕ ·– ⏕ – – | :– ⏑ – ⏓

:– ⏑ – ⏓ | :– ⏕ – ⏕ ⏓ |

– :– ⏑ – – ·– ⏑ ⏓ |

:– ⏕ – ⏕ – – | :– ⏑ – – ·– ⏕ ⏓ |

⏕ ⏑ – – ·– ⏑ – – ⏕ ⏑ ⏓ ¦

– :– ⏑ – – :– ⏕ – | ⏕ – – ·– ⏑ ⏓ |

– :– ⏑ – – ·– ⏑ – – |

### Epodi.

:– ⏑ – – :– ⏕ – ⏕ – |

:– ⏑ – – :– ⏕ – ⏕ – – |

:– ⏑ – – ·– ⏑ – –, | :– ⏕ – ⏕ ⏓ |

:– ⏑ – – ·– ⏑ –, | – :– ⏕ – ⏕ – ⏓ :– ⏑ – ⏓ |

:– ⏑ – – ·– ⏑ – –, | :– ⏕ – ⏕ –

– :– ⏑ – – | :– ⏕ – ⏕ – – :– ⏑ ⏓ |

:– ⏑ – – :– ⏕ – ⏕ | – :– ⏑ – ·– ⏑ – – ·– ⏑ ⏓ \

*Στρ. α.*

*Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου*
*δεύτερον κρατῆρα Μοισαίων μελέων*
*κίρναμεν Λάμπωνος εὐαέθλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ*
*μὲν πρῶτον, ὦ Ζεῦ,*
*τὶν ἄωτον δεξάμενοι στεφάνων,*
*νῦν αὖτεν Ἰσθμοῦ δεσπότᾳ*
*Νηρεΐδεσσί τε πεντήκοντα, παίδων ὁπλοτάτου*
*Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον*
*σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα*
*σπένδειν μελιφθόγγοις ἀοιδαῖς.*

*Ἀντ. α΄.*

*εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς*
*καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,*
*σύν τέ ϝοι δαίμων φυτεύει δόξαν ἐπήρατον, ἐσχα-*
*τιαῖς ἤδη πρὸς ὄλβου*
*βάλλετ᾽ ἄγκυραν θεότιμος ἐών.*
*τοίαισιν ὀργαῖς εὔχεται*
*ἀντιάσαις ἀίδαν γῆράς τε δέξασθαι πολιὸν*
*ὁ Κλεονίκου παῖς· ἐγὼ δ᾽ ὑψίθρονον*
*Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς*
*ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.*

---

2. *Μοισαίων* Heyne: *μοισέων* codd. — 3. *εὐάθλ.* *BD* — 4. *τίν γ᾽* coni. Pauw — 5. *αὖτεν Ἰσθμοῦ* Usener Jhb. f. Phil. 117, 65 conferens latinum *autem* et *ἔπειτεν* P. IV 211. N. III 54. I. VII 20: *αὖτ᾽ ἐν ἰσθμοῦ* *B D*, *αὖτε Ἰσθμοῦ* Hermann, *αὖτις Ἰσθμοῦ* Boeckh, *αὖ τίν, Ἰσθμοῦ δέσποτα* Bergk — 9. *σπεύδειν* *D* — 12. *ἐσχατιαῖς* *B*: *ἐσχατιὰς* *D*, utrumque schol., *ἐσχατιαῖς* Bergk — 17. *ἕσπεσθαι* coni. Pauw: *σπέσθαι* codd.; *ἀνδρὸς φιλτάτου σπέσθαι κλυταῖς* Herwerden; cf. I. V 36 — *κλυταῖς* Bergk —

*ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι,* *Ἐπ. α'.*
*τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν,*
*τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.*
*μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ*
*κέλευθοι*
*καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους·*
*οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,*
*ἅτις οὐ Πηλέος ἀίει κλέος ἥ-*
*ρωος, εὐ-δαίμονος γαμβροῦ θεῶν,*

*οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα* *Στρ. β'.*
*καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον*
*ἄγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τροΐαν,*
*ἥρωσι μόχθον,*
*Λαομεδοντειᾶν ὑπὲρ ἀμπλακιᾶν*
*ἐν ναυσὶν Ἀλκμήνας τέκος.*
*εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων*
*ϝέθνεα, καὶ τὸν βουβόταν οὔρεϊ ϝίσον*
*Φλέγραισιν εὑρὼν Ἀλκυονῆ, σφετέρας οὐ φείσατο*
*χερσὶν βαρυφθόγγοιο νευρᾶς*

*Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων* *Ἀντ. β'.*
*ἐς πλόον ξ υ ν ὸ ν κύρησεν δαινυμένων.*

---

19. *ὑμέ D* — *τ'*: *δὲ* quod paraphrasis exhibet, probat Bergk — 20. *ἔμμεν* Boeckh: *εἶναι* codd. — 21. *ἐπιστείχοντι B*[s] — 22. *σχερῷ B D* — 23. *πέρανεἰλοιο B* — 24. *οὔτε* codd.: *οὐδὲ* schol. — *παλιγλ. B* — 25. *ἀΐει* ex scholiis Hermann: *ἀΰει B D* — 29. *λαομεδοντείαν . . . ἀμπλακίαν* codd., corr. Kayser — 31. *πέφνεν τε* malo — 32. *τ' ἔθνεα* codd., *τ'* eiec. Boeckh — *τὸν* om. *D* — 33. *σφετέρας δ' οὐ B D*, *δ'* eiec. Heyne — 36. *ξυνὸν* supplevi, *τοῦτον* Mommsen, *πλόον, κύρησε πάντων* Tricl. — *κύρησε D*: *κήρυσσε B* — *δαινυμένων* (*δαν. D*) *B D*: *δαινύμενον* ex schol. Mommsen —

*τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις*
*σπονδαῖσιν ἄρξαι,*
*καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,*
*ἄνδωκε δ' αὐτῷ φέρτατος*
*οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών·*
*ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους*
*αὔδασε τοιοῦτον ϝέπος· Εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,*
*θυμῷ 'θέλων ἀρᾶν ἄκουσας,*

*νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις* *Ἐπ. β'.*
*λίσσομαι, παῖδα θρασὺν ἐξ Ἐριβοίας*
*ἀνδρὶ τῷδε ξείνιόν μου μοιρίδιον τελέσαι,*
*τὰν μὲν ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν*
*περιπλανᾶται*
*θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ·*
*θυμὸς δ' ἑπέσθω. ταῦτ' ἄρα ϝοι φαμένῳ πέμψεν θεὸς*
*ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁ-*
*δεῖα δ' ἔν-δον νιν ἔκνιξεν χάρις,*

*εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ·* *Στρ. γ'.*
*Ἔσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών·*
*καί νιν ὄρνιχος φανέντος κέκλε' ἐπώνυμον εὐρυβίαν*
*Αἴαντα λαῶν,*

---

38. *κρατ.* *D* — *Ἀμφιτρυωνίδαν* *B* — 41. *ἀνατείναις* Boeckh: *ἀντείνας* *BD* — 42. *ἔπος* coni. Heyne: *τι ἔπος* *BD*, quod ex O. VI 16 illatum esse videtur — 43. *θυμὸν* *D* — *ἐθέλων* Boeckh; cf. I. I 15 — *ἐμᾶν . . . ἀρᾶν* Mommsen: *ἐμὰν . . . ἀρὰν* *BD* — 44. *θεσπεσίαις* ex scholiis ed. Crat.: *θεσπεσίαν* *BD* — 46. *ξείνιόν μου* (*μευ*) coni. Schnitzer: *ξεῖνον* (*κεῖν.* *D*) *ἀμὸν* (*ἀμ.* *D*) *BD*, *ξεινοτίμῳ* coni. Rauchenstein — 47. *τὰν μὲν* coni. Rauchenstein: *τὸν μὲν* codd., *τὼς μὲν* Hartung — *με νῦν* coni. Stephanus: *μίμνοι* *BD* — 52. *ἔσαιταί* *D* — 53. *κέκλε'* Bergk: *κέκλετ'* *BD*. *κέκλεν* Melanchthon —

*ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου.*
*ὣς ἄρα ϝειπὼν αὐτίκα*
*ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς·*
*Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας*
*Πυθέᾳ τε κώμων Εὐθυμένει τε. τὸν Ἀργείων τρόπον*
*εἰρήσεται πάντ' ἐν βραχίστοις.*

*ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου* Ἀντ. γ'.
*τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,*
*ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ' ἄγαγον ἐς φάος*
*οἵαν μοῖραν ὕμνων,*
*τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων*
*ἄρδοντι καλλίστᾳ δρόσῳ,*
*τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν*
*θεοφιλῆ ναίοντι. Λάμπων δὲ μελέταν*
*ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,*
*υἱοῖσί τε φράζων παραινεῖ,*

*ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων.* Ἐπ. γ'.
*καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,*
*μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·*
*γλῶσσα δ' οὐκ ἔξω φρενῶν· φαίης κέ νιν ἀνδράσιν*
*ἀεθληταῖσιν ἔμμεν*

---

56. *ἀναγήσ.* coni. Mingarelli: *ἀγήσ.* *B D*, *διηγήσασθαι* scholia interpretantur — 57. *γάρ τ'* coni. Schmid — 59. *πάντ' ἐν* coni. Schneidewin: *ποῦ κέν B*, *πα κ' ἐν D* — 61. *τρεῖς, ἀπ' Ἰσθ.* distinxit Bergk, antea sine distinctione vulgabatur *τρεῖς ἀπ' Ἰσθ.* — *τὰν δ'* vel *τὰ δ'* coni. Bergk — 62. *μάτρως· ἀνὰ δ'* coni. Schmid: *μάτρωες. ἀν δ'* codd. — 63. *Ψαλυχιδᾶν* coni. Schmid: *ψαλυχιαδᾶν BD*, utrumque schol. — 66. *ναίοντι* scripsi: *ναίουσι* codd., *ναίοισι* Hermann — 70. *κάν* mavult Herwerden collato O. II 49 — *ξείν. BD* — 72. *νιν ἀνδράσιν* coni. Heyne: *νιν ἄνδρ' ἐν* codd. et schol., Μένανδρον ex glossa

*Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.*
*πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι*
*χρυσοπέπλου Μναμοσύνας ἀνέτει-*
*λαν παρ' εὐ-τειχέσιν Κάδμου πύλαις.*

---

Tricliniana Mommsen — 73. *χαλκοδάμαν* coni. Heyne probabiliter; cf. N. IX 16 — 74. *σφε* codd.: *γε* Et. M. 673, 22 et Cramer An. Par. III 15, unde alios *Ϝε* legisse collegit Bergk.

## ΙΣΘΜΙΟΝ. Ζ'.

# ΣΤΡΕΨΙΑΔΗ ΘΗΒΑΙΩ

## ΠΑΓΚΡΑΤΙΩ

ca. 454 a. Ch.

---

Strophae.



Epodi.



Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα, Στρ. α'.
καλῶν ἐπιχωρίων μάλιστα θυ-μὸν τεὸν
εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον

Δαμάτερος ἀνίκ' εὐρυχαίταν
ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον νί-
φοντα δεξαμένα τὸν φέρτατον θεῶν,

ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις — Ἀντ. α'.
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλεί-οις γοναῖς;
ἢ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
ἢ ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς Ἄ-
δραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν

μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; — Ἐπ. α'.
ἢ Δωρίδ' ἀποικίαν - οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαι-ὰ γὰρ
εὕδει χάρις, ἀ-μνάμονες δὲ βροτοί,

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον — Στρ. β'.
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκη-ται ζυγέν.
κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφά-
εις· ἄγει τ' ἀρετὰν οὐκ αἴσχιω φυᾶς.

---

6. *θερ.* *B* — 8 et 9. *ἢ* Schmid: *ἢ ὅτ'* *BD*, *ἤ'* Mommsen — 8. *πυκναῖς Τειρεσίαο* coni. Pauw: *τειρεσίαο πυκιναῖς* *BD*; *πυκναῖς . . . βουλαῖς* susp. Bergk — 10. *κρατ.* *D* — 11. *ἑτάρων* Schmid: *ἑταίρων* *B D* — 12. *οὕνεκεν* Thiersch: *οὕνεκ'* *BD*, *ἀνίκ' ἄρ'* Heyne — 15. *αἰγεῖδαι* *B*: *αἰδεῖσθαι* *D*, *ἀργεῖδαι* v. l. schol. — *πυθίοισιν* *B D* — 19. *ζευγέν* *B* — 20. *ἔπειτ' ἐν* *B D* et schol. — 22. μορφάεις: μορφάεσ' (-εσσ' *B*) *B D* —

φλέγεται δὲ Ϝιοπλόκοισι Μοίσαις, 'Αντ. β'.
μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοι-νὸν θάλος,
χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν
αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,

λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ, 'Επ. β'.
ἀστῶν γενεᾷ μέγισ-τον κλέος αὔξων
ζώων τ' ἀπό καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
'Αμφιάρη-όν τε,
εὐανθέ' ἀπέπ-νευσας ἁλικίαν

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι Στρ. γ'.
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις - ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζ-
ων· ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος.

---

αἰσχίω Byz.: αἴσχιον B, αἴσχθιον D, quae lectio ad formam acc. αἰσχίων ducit grammaticis ante Aristarchum probatam — 23. δὲ ἰοπλόκοισι coni. Bergk: δ' ἰοπλοκάμοισι codd., δ' ἰοβοστρύχοισι Schmid; cf. O. VI 30 — 25. ἄρης: ἄρ' D — 26. τιμὰ et τιμᾷ B et schol. — 27. ὅτις D — πρὸ coni. Schmid: πρὸς codd. — 28. ἄντα φέρων ex scholiis Thiersch: ἀμύνων BD, ἀντιφέρων Bergk, ἀντιπνέων Wölfflin Phil. 7, 209 — 33. ἀμφιάραόν τε BD, ἀν' 'Αμφιάρειον coni. Bergk — 34. εὐανθέα: fort. λευκανθέα, ut duo cola ultima epodi in unum versum coniungi possint; cf. N. IX 23 — 36. ἔχον maluit Schmid — ἐσχάταις (-οισιν D) ἐπ' ἐλπ. B D, ἐπ' eiec. ed. Rom. — ἐλπίσιν Byz. et lemma in B: ἐλπίσ. . B, ἐλπίδιν D — 39. ἁρμόσαις ex scholiis Schmid: ἁρμόζων B D —

ὅ τι τερπνὸν ἐφάμερον διώκων 'Αντ. γ'.
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν - μόρσιμον
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες,
δαίμων δ' ἄισος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕ-
δραν· ὅ τοι πτερόεις ἔρριψε Πάγασος

δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς 'Επ. γ'.
ἐλθεῖν μεθ' ὁμάγυριν - Βελλεροφόνταν
Ζηνός· τὸ δὲ παρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλ-λαισιν
εὐανθέα καὶ - Πυθόϊ στέφανον.

---

40. ἐφάμερον *D*: ἐφάμερος Tricl. — 43. ἄϊσος **Benedictus**: ἄιστος codd., utrumque schol. — 44. ὅ τοι *B*: ὅτι *D* — 45. οὐρανοὺς *D* — 51. ἐνανθέα *D*.

### ΙΣΘΜΙΟΝ. Η'.

# ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι

### ΠΑΓΚΡΑΤΙΩι

ca. 478 a. Ch.

---

Strophae.



*Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον* *Στρ. α'.*
*εὔδοξον, ὦ νέοι, καμάτων,*

---

1. *τις B*: *τίς D* — *τε* codd. et schol.: *τι* coni. Bergk —

*πατρὸς ἀγλαὸν Τελεσάρ-*
*χου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω*
*κῶμον, Ἰσθμιάδος τε νί-*
*κας ἄποινα, καὶ Νεμέᾳ*
*ἀέθλων ὅτι κράτος ἐξ-*
*εῦρε. τῷ καὶ ἐγώ, - καίπερ ἀχνύμενος*
*θυμόν, αἰτέομαι - χρυσέαν καλέσαι*
*Μοῖσαν. ἐκ μεγάλων δὲ πεν-θέων λυθέντες*
*μήτ᾽ ἐν ὀρφανίᾳ πέσω-μεν στεφάνων,*
*μήτε κάδεα θεράπευε·*
*παυσάμενοι δ᾽ ἀπράκ-των κακῶν*
*γλυκύ τι δαμωσόμεθα καὶ - μετὰ πόνον,*
*ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς*
*γε Ταντάλου λίθον - παρά τις ἔ-*
*τρεψεν ἄμμι θεός,*

*ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλά* Στρ.
*μοι δεῖμα μὲν παροιχόμενον*
*καρτερὰν ἔπαυσε μέριμ-*
*ναν· τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν*
*χρῆμα πᾶν. δόλιος γὰρ αἰ-*
*ὼν ἐπ᾽ ἀνδράσι κρέμαται,*
*ἑλίσσων βίου πόρον· ἰ-*
*ατὰ δ᾽ ἐστὶ βροτοῖς - σύν γ᾽ ἐλευθερίᾳ*

---

3. *πρόθυμον D* — *ἀνεγειρέτω B*: *ἀγειρέτω D*, *συναγ.* c Schmid — 4. *κώμων B* — post *Νεμέᾳ* interpunxit Bergk 7. *ἀπρήκτ. BD* — 10. *γε B* et schol.: *τε D*, *ἅτε* Bergk, f *λᾶν Ταντάλου μέγαν* vel *ταῦν Ταντάλου λίθον* collato Hesyc *ταῦς· μέγας, πολύς* — 12. *παροιχόμενον* Benedictus: *παροι μένων* codd. et schol. — 13. *σκοπεῖν* om. codd., ex scho *suppl.* Thiersch — 15. *βίου* Tricl.: *βιότου B D* — *καὶ τά καὶ ταὸν D* — *χρὴ δ᾽ . . . ἰόν* 41 exciderunt in B —

*καὶ τά. χρὴ δ' ἀγαθὰν - ἐλπίδ' ἀνδρὶ μέλειν.*
*χρὴ δ' ἐν ἑπταπύλοισι Θή-βαις τραφέντα*
*Αἰγίνᾳ Χαρίτων ἄω-τον προνέμειν,*
*πατρὸς οὕνεκα δίδυμαι γέ-*
*νοντο θύγατρες Ἀ-σωπίδων*
*ὁπλόταται, Ζηνί τε Ϝάδον - βασιλέι.*
*ὃ τὰν μὲν παρὰ καλλιρόῳ*
*Δίρκᾳ φιλαρμάτου - πόλιος ᾤ-*
*κισσεν ἁγεμόνα·*

*σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν* *Στρ. γ'.*
*κοιμᾶτο, δῖον ἔνθα τέκες*
*Αἰακὸν βαρυσφαράγῳ*
*πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ*
*δαιμόνεσσι δίκας ἐπεί-*
*ραινε· τοῦ μὲν ἀντίθεοι*
*ἀρίστευον υἱέες υἱ-*
*έων τ' ἀρηίφιλοι - παῖδες ἀνορέᾳ*
*χάλκεον στονόεντ' - ἀμφέπειν ὅμαδον·*
*σώφρονές τ' ἐγένοντο πινυ-τοί τε θυμόν.*
*ταῦτα καὶ μακάρων ἐμέμ-ναντ' ἀγοραί,*
*Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλα-*
*ός τ' ἔρισαν Ποσει-δᾶν γάμῳ,*
*ἄλοχον εὐειδέ' ἐθέλων - ἑκάτερος*

---

17. *θύγατρες* Tricl.: *θυγατέρες* *D* — *Ἀσωπίδων θ' ὁπλ.* codd., *θ'* eiec. Pauw neque legisse videntur schol. — 18. *ὁπλότεραι* Tricl.: *ὁπλότατα* *D* — 20. *ᾤκισσεν* Tricl.: *ᾤκισεν* *D* — 21. *ἔνεγκε κοιμᾷ τε* coni. Hermann — 23. *βαρυσμαράγῳ* coni. Herwerden — 24. *ἐπείραινε* Tricl.: *ἐπέραινε* *D* — 25. *στονόεντ'* Tricl.: *στονόεντα τ'* *D* — 27. *ἔρισαν* ex scholiis Benedictus: *ἔρισας* *D* — 28. *εὐειδέ' ἐθέλ.* Boeckh: εὐειδέα θέλ. codd. —

*ἐὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.*
*ἀλλ' οὔ σφιν ἄμβροτοι - τέλεσαν εὐ-*
*νὰν θεῶν πραπίδες,*

*ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε* Στρ. δ'.
*δ' εὔβουλος ἐν μέσοισι Θέμις,*
*εἵνεκεν πεπρωμένον ἦν*
*φέρτερον γόνον ἂν ἄνακτα πατρὸς τεκεῖν*
*ποντίαν θεόν, ὃς κεραυ-*
*νοῦ τε κρέσσον ἄλλο βέλος*
*διώξει χερὶ τριόδον-*
*τός τ' ἀμαιμακέτου, - Δί γε μισγομέναν*
*ἢ Διὸς παρ' ἀδελ-φεοῖσιν. ἀλλὰ τὰ μὲν*
*παύσατε· βροτέων δὲ λεχέ-ων τυχοῖσα*
*υἱὸν εἰσιδέτω θανόντ' - ἐν πολέμῳ,*
*χεῖρας Ἄρεΐ τ' ἐναλίγκι-*
*ον στεροπαῖσί τ' ἀκ-μὰν ποδῶν.*
*τὸ μὲν ἐμόν, Πηλέι γάμου - θεόμορον*
*ὀπάσσαι γέρας Αἰακίδᾳ,*
*ὄντ' εὐσεβέστατον - φάτις Ἰωλ-*
*κοῦ τράφειν πεδίον.*

---

29. *ἔμμεναι. ἔρως D* — *ἔχεν* coni. Schmid: *ἔσχεν D, εἶχεν* Tricl. — 31. *ἐπάκουσαν* Tricl.: *ἤκουσαν D, ὀπ' ἄκουσαν* coni. Hermann² — 33. *γόνον ἂν ἄνακτα* coni. Bergk: *ἂν* om. codd., *τεκέμεν ἄνακτα πατρὸς γόνον* coni. Mommsen — 35. *χερὶ* Tricl.: *χειρὶ D* — *Δί γε μισγ.* coni. Bergk, qui tamen quartis curis scripsit *Δὶ δαμαζομέναν*: *Διὶ μισγ. D*, Ζηνὶ *μισγ.* Tricl., *Δί τε μισγ.* coni. Hermann, *Δὶ συμμισγ.* Mommsen — *Διός περ ἀδ.* coni. Mingarelli probabiliter, *δίοισιν ἀδ.* Hartung — 37. *χεῖρας Ἄρεΐ τ' ἐν.* Boeckh: *ἄρεϊ χεῖρας ἐν. D, ἄρεϊ χέρας ἐν.* Tricl. — 38. *Πηλέι γάμου θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ* coni. Hermann: *πηλεῖ θεάμοιρον (θεόμοιρον* Tricl.) *ὀπάσαι γάμου αἰακίδᾳ γέρας* codd. — 40. φάτις Ἰωλκοῦ coni. Bothe: *φασὶν (φασ'* Tricl.) *ἰαωλκοῦ* codd., φρασὶν Ἰωλκοῦ τράφεν coni. Bergk —

*ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς* Στρ. ε'.
*Χείρωνος αὐτίκ' ἀγγελίαι·*
*μηδὲ Νηρέος θυγάτηρ*
*νεικέων πέταλα δὶς ἐγγυαλιζέτω*
*ἄμμιν· ἐν διχομηνίδεσ-*
*σιν δὲ Ϝεσπέραις ἐρατὸν*
*λύοι κεν χαλινὸν ὑφ' ἥ-*
*ρωι παρθενίας. - ὣς φάτο Κρονίδαις*
*ἐννέποισα θεά· - τοὶ δ' ἐπὶ γλεφάροις*
*νεῦσαν ἀθανάτοισιν· ἐπέ-ων δὲ καρπὸς*
*οὐ κατέφθινε. φαντὶ γὰρ - ξύν' ἀλέγειν*
*καὶ γάμον Θέτιος ἄνακτε·*
*καὶ νεαρὰν ἔδει-ξαν σοφῶν*
*στόματ' ἀπείροισιν ἀρετὰν - Ἀχιλέος·*
*ὃ καὶ Μύσιον ἀμπελόεν*
*αἵμαξε Τηλέφου - μέλανι ῥαί-*
*νων φόνῳ πεδίον,*

*γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον,* Στρ. ϛ'.
*Ἑλέναν τ' ἐλύσατο, Τροΐας*
*ἶνας ἐκταμὼν δορί, ταί*
*νιν ῥύοντό ποτε μάχας ἐναριμβρότου*
*ἔργον ἐν πεδίῳ κορύσ-*
*σοντα, Μέμνονός τε βίαν*

---

41. *εὐθὺς* codd.: *εὐθὺ* coni. Hermann — 43. *Νηρέος* Boeckh: *νηρέως* codd. — 44. *-δεσι* *D* — 45. *λύοιτ' ἂν* coni. Herwerden — *ἐννεπ.* *Byz.*: *ἐνεπ.* *B D* — 46. *ξύν' ἀλ.* coni. Hermann: *συναλ.* codd. — 47. *γάμον* *D*: *γάμ..* *B*, *γάμου* Tricl. — *ἄνακτε* Tricl.: *ἄνακτα* *BD*, *ἄνακτι* Kayser — *καὶ νεαρὰν* coni. Schmid: *καὶ νέαν* codd.; *αἰνέαν τ'* Bergk — 48. *στόματ' ἀοιδαῖσιν* coni. Hartung — *ἀχιλέως* *B*, *ἀχιλλέος* *D* — 51. *ἀτρεάδ.* BD — 53. *ποτε* Tricl.: *ποτ' ἐκ.* *BD* — *ἐναριμ....* hic desinit B —

*ὑπέρθυμον Ἕκτορά τ' ἄλ-*
*λους τ' ἀριστέας· οἷς - δῶμα Φερσεφόνας*
*μανύων Ἀχιλεύς, - οὖρος Αἰακιδᾶν,*
*Αἴγιναν σφετέραν τε ῥί-ζαν πρόφαινεν.*
*τὸν μὲν οὐδὲ θανόντ' ἀοι-δαὶ ἔλιπον,*
*ἀλλά ϝοι παρά τε πυρὰν τά-*
*φον θ' Ἑλικώνιαι - παρθένοι*
*στάν, ἐπὶ θρῆνόν τε πολύφα-μον ἔχεαν.*
*ἔδοξ' ἆρα καὶ ἀθανάτοις,*
*ἐσλόν γε φῶτα καὶ - φθίμενον ὕμ-*
*νοις θεᾶν διδόμεν.*

*τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε* Στρ. ζ'.
*Μοισαῖον ἅρμα Νικοκλέος*
*μνᾶμα πυγμάχου κελαδῆ-*
*σαι. γεραίρετέ νιν, ὃς Ἴσθμιον ἀν· νάπος*
*Δωρίων ἔλαχεν σελί-*
*νων· ἐπεὶ περικτίονας*
*ἐνίκασε δή ποτε καὶ*
*κεῖνος ἄνδρας ἀφύκ-τῳ χερὶ κλονέων.*
*τὸν μὲν οὐ κατελέγ-χει κριτοῦ γενεὰ*
*πατραδελφεοῦ· ἁλίκων - τῷ τις ἁβρὸν*

---

55. *Φερσ.* Boeckh coll. O. XIV 21 et P. XII 2: *περσ.* *D* — *ἀχιλεύς* Tricl.: *ἀχιλλεύς* *D* — 56. *οὐδὲ* Boeckh: *οὔτε* *D* — *ἀοιδαί γ' ἔλ.* coni. Hermann; conf. ad O. I 103 — 57. *Ἑλικωνίδες* coni. Hecker — 58. *στὰν* coni. Heyne: *ἔσταν* codd. — *ἔχεαν* Schmid: *ἔχευαν* codd., fort. *ἔχεϝαν* — 59. *ἆρα* *D* — 60. *ἐσλόν γε* ex scholiis ed. Rom.: *ἐς λόγον γε* codd. — 61. *ἔχει λόγον* coni. Hecker collato Eur. fr. 208 — 63. *γεραίρετε* coni. Bothe: *γεραίρεται* *D* — *ἂν νάπος* coni. Hermann: *ἀνάπος* *D*, *ἂν πέδον* Tricl. — 65. *κἀκεῖνος* codd. — *ἀφύκτῳ* Tricl.: *ἀφύκτε* *D* — *χερὶ* Tricl.: *χειρὶ* *D* — *τὸν μὲν* Tricl.: *τὸ μὲν* *D* — *γενεὰ* Tricl.: *γενεὰν* *D*; fort. κριτὸς γενεά —

*ἀμφὶ παγκρατίου Κλεάν-δρῳ πλεκέτω*
*μυρσίνας στέφανον· ἐπεί νιν*
*Ἀλκαθόου τ' ἀγὼν - σὺν τύχᾳ*
*ἐν Ἐπιδαύρῳ τε πρὶν ἔδεκ-το νεότας·*
*τὸν αἰνεῖν ἀγαθῷ παρέχει·*
*ἥβαν γὰρ οὐκ ἄπει-ρον ὑπὸ χει-*
*ᾷ καλῶν δάμασεν.*

---

67. *ἀλκαθόου* Tricl.: *ἀλκάθου* *D* — 68. *ἐν* Tricl.: *εἰ* *D* — *πρὶν ἔδεκτο νεότας* coni. Bergk: *νεότας πρὶν ἔδεκτο* codd., *νεότας δέκετο πρὶν* coni. Hermann — 69. *παρέχει* Tricl.: *παρέχειν* *D* — 70. *χειᾶ* (sine *πω*) Tricl.: *χία* (vel *χόα* potius) *πω* *D*.

# FRAGMENTA SELECTA

## CARMINUM DEPERDITORUM.

---

### I.

### ΙΣΘΜΙΟΝΙΚΑΙ.

#### 1 [4].

–́ ⏑ – ⏑̄ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – ⏑̄ –́ ⏑⏑ – –
– –́⏑ ⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑ ⏒
–́ ⏑⏑ – ⏒ –́ ⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑⏑ –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑ – ⏒ –́ ⏑ – –

*Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς*
*Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ*
*Ὕλλου τε καὶ Αἰγιμιοῦ*
*Δωριεὺς ἐλθὼν στρατὸς ἐκ-τίσσατο·*

---

Fragmentorum numeri sunt editionis Bergkianae quartae, Lips. 1878; numeri uncinis inclusi editionis Boeckhianae sunt.
Fr. 1 est initium Isthm. ix, exstat in ultimo folio Pindarici cod. *D* — v. 2. θεῶν coni. Boeckh: θεῷ *D* — 4. ἐκτίσ-

*τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται,*
*οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἷ-οι δ' ἀρετὰν*
*δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ*
*Μοισᾶν ἀγωνίων τ' ἀέθλων.*

2.

⏑⏑ ⏑ ⏑⏑ ⏑ –́ ⏑ ⏑⏑ ⏑ –́ ⏑ – –
–́⏑ ⏑ – –́ ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – – –́ ⏑ – ⏑ –

*Ὁ δ' ἐθέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν*
*τὰν Ἀγαμή-δει Τροφωνίῳ θ' Ἑκαταβόλου συμβουλίαν λαβών.*

3 [26].

Plut. Cons. ad Apoll. 14: *περὶ Ἀγαμήδους δὲ καὶ Τροφωνίου φησὶ Πίνδαρος, τὸν νεὼν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς ἐπαγγείλασθαι εἰς ἑβδόμην ἡμέραν ἀποδώσειν, ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσταχθὲν τῇ ἑβδόμῃ νυκτὶ κατακοιμηθέντας τελευτῆσαι.*

4 [199].

⏒ –́ ⏑ – ⏑ –́ ⏑ – ⏒

*Κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων.*

5 [1].

–́⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ ⏓
⏑⏑ –⏑ ⏑ – –

---

*σατο* Hermann: *ἐκτήσατο* *D* — 5. *τῶν μὲν* coni. Hermann: *τὰ μὲν* *D*.

Fr. 2. Schol. Luciani dial. mort. III, editum a Rohdio Philol. 35, 199.

Fr. 4 ex schol. Pind. I. V inscr. petitum est, unde patet sermonem fieri de Pythea Aegineta; quo ex carminum genere verba sumpta sint incertum est.

*Αἰολίδαν δὲ Σίσυφον κέλοντο*
*ᾧ παιδὶ τηλέφαντον ὄρ-σαι γέρας*
*φθιμένῳ Μελικέρτᾳ.*

7 [2].

– ⏓ –⏑ ⏑ –⏑ ⏑ – ⏑ –
*ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.*

10.

∸ ⏖ – ⏖ – – ∸ ⏑ – –
*Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.*

23. 24.

*Ἀμεύσεσθαι Νάξιον Τίσανδρον — Ἀμευσιεπῆ φροντίδα.*

II.

# ΥΜΝΟΙ.

## ΥΜΝΟΣ ΘΗΒΑΙΟΙΣ.

29. 30 [5. 6].

Strophae.

– ∸ ⏑ – – ∸ ⏖ – ⏖ –
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ – –
– ∸ ⏖ – ⏖ – –
∸ ⏑ – – ∸ ⏖ – ⏖ ⏓
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ – –
∸ ⏑ – – ∸ ⏖ – ⏖ – – ∸ ⏖ – ⏖ – –

---

Fr. 5. Apollon. Dysc. de synt. II 21 p. 156.
Fr. 7. Apoll. Dysc. de pron. p. 368 A.
Fr. 10. 23. 24 Eustath. Prol. Pind., locis, unde hauserit, non indicatis.

Fr. 29—35, fortasse etiam 149. 178. 187 eiusdem hymni sunt Thebanis facti. Hoc de hymno Lucian. Icaromen. 27: *ἐν δὲ τῷ δείπνῳ ὅ τε Ἀπόλλων ἐκιθάρισε καὶ ὁ Σειληνὸς κόρδακα ὠρχήσατο, καὶ αἱ Μοῦσαι ἀναστᾶσαι τῆς τε Ἡσιόδου Θεογονίας ᾖσαν ἡμῖν καὶ τὴν πρώτην ᾠδὴν τῶν ὕμνων τοῦ Πινδάρου.* Inde Boeckhius hunc hymnum Theogoniae similem plurimorum deorum et heroum fabulas et laudes complexum esse collegit.

Epodi.

– ⏑ –
⏒ ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏖ – ⏖ –

* * *

– ∸ ⏑ – – ∸ ⏖ – ⏖ – – ∸ ⏑ – –

*Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,* Στρ.
*ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,*
*ἢ τὰν κυανάμπυκα Θήβαν,*
*ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,*
*ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,*
*ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν ....*

* * *

*Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν* Στρ.
*χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν*
*Μοῖραι ποτὶ κλίμακα σεμνὰν*
*ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδόν,*
*σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·*
*ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας*
*Ὥρας.*

31 [7].

Aristides II 142 Dind.: *Πίνδαρος δὲ τοσαύτην ὑπερβολὴν ἐποιήσατο, ὥστε ἐν Διὸς γάμῳ καὶ τοὺς θεοὺς αὐτοὺς φησιν, ἐρομένου τοῦ Διός, εἴ του δέοιντο, αἰτῆσαι ποιήσασθαί τινας αὐτῷ θεούς, οἵτινες τὰ μεγάλα ταῦτ' ἔργα καὶ πᾶσάν γε δὴ τὴν ἐκείνου κατασκευὴν κατακοσμήσουσι λόγοις καὶ μουσικῇ* — Choricius p. 305 ed. Boisson., p. 3 ed. Foerster: *ἐποίησε Πίνδαρος καὶ θεοὺς ὀκνοῦντας ὑμνῆσαι τὰς τοῦ Διὸς εἰς ἀνθρώπους φιλοτιμίας. ἐδόκει γὰρ οἶμαι τῷ ποιητῇ τοῦτο εἶναι μέγιστον ἐγκώμιον τοῦ θεοῦ, εἰ μηδεὶς τῶν Ὀλυμπίων αὐτὸν ἐγκωμιάσαι τολμήσαι. τοιγαροῦν καθ-*

---

Fr. 29 Luciani Demosth. enc. 19, Plut. de glor. Athen. 4.
Fr. 30. Clem. Alex. Strom. v 731.

ἤστο μὲν ὁ Ζεὺς τῷ Πινδάρῳ τὸ πᾶν ἄρτι κοσμήσας, παρῆσαν δὲ οἱ θεοὶ σιωπῇ τεθηπότες τὴν ἀγλαΐαν τῶν δρωμένων, ἐρομένου δὲ τοῦ Διός, εἴπερ ἄλλου του δέοιντο, ἓν ἔφασαν οἱ θεοὶ τοῖς ἐκείνου δημιουργήμασι λείπειν, ὅτι μηδένα προήγαγεν ἀναβαίνοντα ταῖς εὐφημίαις ἄχρι τοῦ μέτρου τῶν τελουμένων.

32 [8].

τοῦ θεοῦ
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

33 [133].

ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων.

34 [9].

ὅς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

35 [10].

κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

ΕΙΣ ΑΜΜΩΝΑ.

36 [11].

– ⏑́ ⏑ – – ⏑́ ⏑ ⏒

Ἄμμων Ὀλύμπου δέσποτα.

---

Fr. 32. Aristid. II 383 Dind.
Fr. 33. Plut. Quaest. Plat. VIII 4.
Fr. 34. Hephaest. p. 96 Gaisf.[2].
Fr. 35. Heph. p. 95 Gaisf.[2] sine poetae nomine.
Fr. 36. Schol. Pind. P. IX 89: Ἄμμων Ὀλύμπου δεσπ., φησί scil. Πίνδαρος. Respicit Paus. IX 16, 1: οὐ πόρρω δέ ἐστι ναὸς Ἄμμωνος, καὶ τὸ ἄγαλμα ἀνέθηκε μὲν Πίνδαρος, Καλάμιδος δέ ἐστιν ἔργον· ἀπέπεμψε δὲ ὁ Πίνδαρος καὶ Λιβύης ἐς Ἀμμωνίους τῷ Ἄμμωνι ὕμνον. καὶ οὗτος καὶ ἐς ἐμὲ ἦν ὁ ὕμνος ἐν τριγώνῳ στήλῃ παρὰ τὸν βωμόν, ὃν Πτολεμαῖος ὁ Λάγου τῷ Ἄμμωνι ἀνέθηκεν.

### ΕΙΣ ΠΕΡΣΕΦΟΝΗΝ.

37 [12].

∸ ⏖ – ⏖ – – ∸ ⏑ –

*Πότνια θεσμοφόρε χρυσανίου.*

### ΕΙΣ ΤΥΧΗΝ.

38 [16].

*ἐν ἔργμασιν δὲ νικᾷ τύχα οὐ σθένος.*

39. 40. 41 [14. 15. 13].

Paus. IV 30, 6: *ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν·* quod idem spectat Plut. de fort. Rom. 10 — Plut. de fort. Rom. 4: *οὐ μὲν γὰρ ἀπευθὴς* (*ἀπειθὴς* coni. Reiske, fort. *ἀσταθὴς*) *κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον, ἀλλὰ μᾶλλον Εὐνομίας καὶ Πειθοῦς ἀδελφὴ καὶ Προμηθείας θυγάτηρ, ὡς γενεαλογεῖ Ἀλκμάν* — Paus. VII 26, 8: *ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ, καὶ Μοιρῶν τε εἶναι μίαν τὴν Τύχην καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν.*

42 [171].

∸ ⏖ – – ∸ ⏑ – – ∸ ⏖ –
∸ ⏑ – – ∸ ⏖ – ⏖ –
⏓ ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – –
∸ ⏖ – ⏖ – – ∸ ⏖ – ⏖ – –
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – ⏓

*Ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται*
*μόχθος ἄμμιν. τοῦτό γέ τοι ϝερέω·*
*καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ*
*δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα*
*προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.*

---

Fr. 37. Vita Pind. *A*, Paus. IX 23, 2.
Fr. 38. Aristid. II 334 Dind.
Fr. 42. Stob. Floril. CIX 1.

43 [173].

–́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ –

*Ὦ τέκνον,*
*ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον*
*προσφέρων πάσαις πολίεσσιν ὁμίλει·*
*τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν*
*ἄλλοτ' ἀλλοῖα φρόνει.*

48 [17].

Schol. Aristid. t. III p. 463 ed. Dind.: *ἐν Ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς·*

51.

Strab. VII p. 91 ed. Kram.: *εἴπερ, ὥς φησιν ἐν τοῖς Ὕμνοις Πίνδαρος, οἱ μεθ' Ἡρακλέους ἐκ Τροίας πλέοντες διὰ παρθένιον Ἕλλας πορθμόν, ἐπεὶ τῷ Μυρτῴῳ συνῆψαν, εἰς Κῶν ἐπαλινδρόμησαν Ζεφύρου ἀντιπνεύσαντος.*

## III.

## ΠΑΙΑΝΕΣ.

### ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ.

52 [24].

–́⏑ ⏑ – ⏑ –⏑ ⏑ –
–́ ⏑ –⏑ ⏑ – –́⏑ ⏑ – ⏑ –

*Ἀμφιπόλοισι μαρνάμενον*
*μοιριᾶν περὶ τι-μᾶν ἀπολωλέναι.*

---

Fr. 43. Athen. XII 513 C: *τοιοῦτός ἐστι καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδί* (i. e. Amphiaraus)· *ὦ τέκνον κτλ.*
Fr. 52. Schol. Pind. N. VII 94: ἀπολογεῖσθαι βούλεται (Πίν-

53 [25].

⏓ ⏑ – ⏒ ⏑ – ⏒ ⏑ –
⏑̄ ⏓ ⏑ . . . – ⏒ ⏑ ⏓

*Χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ*
*ἄειδον . . . Κηληδόνες.*

54 [27].

Paus. x 16, 2: *τὸν δὲ ὑπὸ Δελφῶν καλούμενον ὀμφαλὸν λίθου πεποιημένον λευκοῦ, τοῦτο εἶναι τὸ ἐν μέσῳ γῆς πάσης αὐτοί τε λέγουσιν οἱ Δελφοί, καὶ ἐν ᾠδῇ τινι Πίνδαρος ὁμολογοῦντά σφισιν ἐποίησεν* — Strab. ix p. 419: *καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον, ὅν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ αἰετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως, ὁ δ' ἀπὸ τῆς ἀνατολῆς.* Cf. P. iv 4.

55 [28].

Schol. Aesch. Eum. 2: *Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα, διὸ καὶ ταρταρῶσαι αὐτὸν ἐζήτει ἡ Γῆ.*

57 [29].

⏓ – ⏒⏑ ⏑ – ⏖ ⏑ – ⏑ ⏒⏑ ⏑ ⏓

*Δωδωναῖε μεγάσ-θενες, ἀριστότεχνα πάτερ.*

58 [30].

Schol. ad Soph. Trach. 172: *Εὐριπίδης τρεῖς γεγονέναι φησὶν αὐτάς (Πελειάδας), οἱ δὲ δύο καὶ τὴν μὲν εἰς Λιβύην ἀφικέσθαι Θήβηθεν εἰς τὸ τοῦ Ἄμμωνος χρηστήριον, τὴν ⟨δὲ⟩ περὶ τὴν Δωδώνην, ὡς καὶ Πίνδαρος Παιᾶσιν.*

---

*δαρος) περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας· ἐκεῖνοι γὰρ ᾐτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν παιᾶνα ἔφη· ἀμφιπόλοισι . . . ἀπολωλέναι.*
Fr. 53. Paus. x 5, 12.
Fr 57. Dio Chrys. or. xii 81, p. 416 R.

61 [33].

⏑ –́ ⏑ –⏑ ⏑ –   –́ ⏑ –⏑ ⏑ ⏓
⏑ –́⏑ ⏑ – ⏑ – ⏑ –
–́ ⏑ – ⏑ –́⏑ ⏑ – – –́⏑ ⏑ – – –́⏑ ⏑ –⏑ ⏑ –   –́⏑ ⏑ –⏑ ⏑ –

*Τί δ' ἔλπεαι σοφίαν - ἔμμεν, ᾇ τ' ὀλίγον*
*ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;*
*οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνά-*
*σει βροτέᾳ φρενί, θνα-τᾶς δ' ἀπὸ ματρὸς ἔφυ.*

## IV.
## ΔΙΘΥΡΑΜΒΟΙ.

71 [43].

Schol. Pind. O. XIII 25: *ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ.*

72 [44].

. . . . ⏖ – ⏖ – – –́ ⏖ – ⏖ –
–́ ⏖ –

*ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ*
*Ὠαρίων.*

73 [52].

Strab. IX 404: *καὶ ἡ Ὑρία δὲ τῆς Ταναγραίας νῦν ἐστι, πρότερον δὲ τῆς Θηβαΐδος· ὅπου ὁ Ὑριεὺς μεμύθευται καὶ ἡ τοῦ Ὠρίωνος γένεσις, ἥν φησι Πίνδαρος ἐν τοῖς Διθυράμβοις.* Hygin. Astron. II 34: Aristomachus autem dicit quendam Hyriea fuisse Thebis, Pindarus autem in insula Chio . . . hic dicitur Thebis Chium venisse et Oenopionis filiam Meropen per vinum cupiditate incensus compressisse.

---

*Fr.* 61. Stob. Ecl. phys. II 1, 8.
*Fr.* 72. Et. M. 460, 35.

74 [53].

. . . . ⏖–⏑ ⏑ ⏓
–́⏑ ⏑ –⏑ ⏑ –   –́ ⏑ – ⏑ –́⏑ ⏑ –

*τρεχέτω δὲ μετὰ*
*Πληιόναν, ἅμα δ' αὐ-τῷ κύων λεοντοδάμας.*

75 [45].

⏖ –́ ⏑ ⏖   –́ ⏑ –
⏑ ⏖́ ⏑ –   –́ ⏑ ⏖   –́ ⏑ –
⏑ ⏖́ ⏑ –   –́ ⏑ ⏓
–́ ⏑ –⏑ ⏑ –́   ⏓ ||
⏒ –́⏑ ⏑ – ⏑ –́   –
– –́ ⏑ –   –́ ⏑ –   –́ ⏑ ⏖ – ||
⏖́ ⏑ –⏑ ⏑ –́⏑ ⏑ –
–́⏑ ⏑ – ⏑ –́ ⏑ – – ||
⏖ –́ ⏑ ⏖   –́⏑ ⏑ –
⏑ ⏖́ ⏑ –   –́ ⏑ – – ||
–́⏑ ⏑ –   –́ ⏑ –   ⏖́ ⏑ ⏓
⏖́ ⏑ –   ⏖́ ⏑ –   –́ ⏑ –   ⏖́ ⏑ ⏓ ||
⏑ ⏖́ ⏑ –   –́⏑ ⏑ –   –́ ⏑ ⏓
⏑ – –́ ⏑ –⏑ ⏑ –́⏑ ⏑ ⏓ ||
⏑ – ⏖́ ⏑ –   –́ ⏑ –   –́ ⏑ –
– –́⏑ ⏑ –   –́⏑ ⏑ –   –́ ⏑ –   –́⏑ ⏑ –
– –́ ⏑ ⏖   –́⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ ⏓ ||
⏖ –́ ⏑ ⏖   –́ ⏑ –   ⏖́ ⏑ –
⏑ –́ ⏑ – ⏑ ⏖ ⏑ – ⏑ –́ ⏑ – ||
– –́   –   –́⏑ ⏑ – ⏑ –́   –
– –́ ⏑ ⏖   –́⏑ ⏑ –   ⏖́ ⏑ – ||

*Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,*
*ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοί,*
*πολύβατον οἵτ' ἄστεος*

---

Fr. 74. Schol. Pind. N. II 19. *ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζῴδιον.*
Fr. 75. *Dionys.* Halic. de comp. verb. c. 22.

ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν.
ἰοδετᾶν λάχετε στεφάνων
τᾶν ἐαριδρόπων τε λοιβᾶν·
Διόθεν τέ με σὺν ἀγλαΐᾳ
ἴδετε πορευθέντ' ἀοιδάν.
δεῦτ' ἐπὶ τὸν κισσοθαλέα θεόν,
Βρόμιον ὅντ' Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμεϊᾶν ἔμολον·
ἐναργέα τελέων σάματ' οὐ λανθάνει,
φοινικοεάνων ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγῃσιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται ἐπ' ἀμβρόταν χθόν' ἐραταὶ
ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖ τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί.

76 [46].

– ⁚⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ –
– ⏑⏑ ⏑ – ⏑ –́⏑ ⏑ – –
⁚⏑ ⏑ –⏑ ⏑ –́ ⏑

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,
δαιμόνιον πτολίεθρον.

77 [196].

. . . . ⏑⏑ – ⏑⏑ – – ⁚ ⏑⏑ – ⏑⏑ – –
– ⁚ ⏑ – ⏑⏑ –

---

Fr. 76. Schol. Aristoph. Ach. 674.

*Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν*
*κρηπῖδ' ἐλευθερίας.*

78 [225].

–́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ –
–́ ⏑ – ⏒ –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑⏑ – ⏑⏑ – ⏒ –́ ⏑⏑ – ⏑⏑ –

*Κλῦθ' Ἀλαλά, πολέμου θύγατερ,*
*ἐγχέων προοίμιον, ᾇ θύεται*
*ἄνδρες ὑπὲρ πόλιος τὸν ἱρόθυτον θάνατον.*

79 A. B. [47].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –

*Πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ [διθυράμβων]*
*καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.*

. . . . . . . . . – –́ ⏑ – –
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – –

*σοὶ μὲν καταρχαί,*
*μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων·*
*ἐν δὲ καχλάδων κρόταλ' αἰθομένα τε*
*δᾴς ὑπὸ ξανθαῖσι πεύκαις.*

80.

. . . . . ⏑⏑ – – –́ ⏑ –

*Κυβέλα μᾶτερ θεῶν.*

---

Fr. 77. Plut. Them. 8. *ὃ δὴ καὶ Πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν ἐπὶ τῆς ἐπ' Ἀρτεμισίῳ μάχης εἰπεῖν· ὅθι κτλ.*
Fr. 78. Plut. de glor. Athen. 7.
Fr. 79. Strab. x p. 469.
Fr. 80. *Philodem.* *περὶ εὐσεβείας* p. 29 Gomp.

## 81 [49].

. . . . . . . . . ⏖ – ⏖ ⏓
–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏖ – ⏖ – ⏓ –́ ⏑ – –
–́ ⏖ – ⏓

*Σὲ δ' ἐγὼ παρὰ μὶν*
*αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Δὶ φίλτερον*
*σιγῷμι πάμπαν. οὐ γὰρ εἰκὸς τῶν ἐόντων*
*ἁρπαζομένων παρὰ Ϝεστίᾳ καθῆσθαι*
*καὶ κακὸν ἔμμεν.*

## 82 [50].

–́⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – ⏓

*Τὰν λιπαρὰν μὲν Αἴ-γυπτον ἀγχίκρημνον.*

## 83 [51].

–́ ⏑ ⏖ –́ ⏑ – –́ ⏑ ⏖ ⏖́ ⏑ ⏓

*Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.*

## 85 [55].

Et. M. 274, 50: *Διθύραμβος . . . Πίνδαρος δέ φησι λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα λῦθι ῥάμμα, λῦθι ῥάμμα, ἵν' ᾖ λυθίραμμος, καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. Ἡρωδιανὸς δέ φησι τὰ προστακτικὰ μὴ συντίθεσθαι.*

---

Fr. 81. Aristid. II 70 Dind.
Fr. 82. Schol. Pind. P. II inscr.
Fr. 83. Schol. Pind. O. VI 152.

## V.

# ΠΡΟΣΟΔΙΑ.

### ΕΙΣ ΔΗΛΟΝ.

### 87. 88 [58].

– ⁝ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒
– ⁝ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒ –
– ⁝ ⏑⏑ – ⏑⏑ ⏒ – ⁝ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒
– ⁝ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒ – ⁝ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒ –
⁝ ⏑⏑ – ⏑⏑ ⏒ –
– ⁝ ⏑ – – ⁝ ⏑⏑ –
⁝ ⏑ – – ⏒ ⏑ – – ⁝ ⏑⏑ – ⏑⏑ ⏒ –
⁝ ⏑⏑ – ⏑⏑ ⏒ – ⁝ ⏑⏑ – ⏑⏑ ⏒ –

*Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου* *Στρ.*
*παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,*
*πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅντε βροτοὶ*
*Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.*

. . . . . . . . . . .
. . . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . . .

. . . . . . . . . . . *Ἀντιστρ.*
. . . . . . . . . . .
*ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων*
*ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ' ἀγχιτόκοις ἐπέβαινεν,*
*δὴ τότε τέσσαρες ὀρθαὶ*

---

Fr. 87. Philo de corr. mund. 23.
Fr. 88. Strab. x 485.

πρέμνων ἀπώρουσαν χθονίων,
ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι
κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.

### ΕΙΣ ΑΦΑΙΑΝ.

#### 89 [59].

⏑ –̣ ⏖ – ⏖ –̣ ⏒ –̣ ⏖ – ⏖ –̣ ⏒
–̣ ⏑ – – –̣ ⏑ – – –̣ ⏑ – – –̣ ⏖ – ⏖ –̣ –

*Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,*
*ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;*

#### 90 [60].

. . . ⏖ – ⏑ – ⏑ – ⏒
–̣ ⏑ –⏑ ⏑ – ⏑ – –
–̣ ⏑ –⏑ ⏑ –⏑ ⏑ – ⏑ – ⏑ – –
–̣⏑ ⏑ – ⏑ – – ⏑ –
⏑ –̣ ⏑ – –⏑ ⏑ – ⏑ – –

*Πρὸς Ὀλυμπίου Διός σε,*
*χρυσέα κλυτόμαντι Πυθοῖ,*
*λίσσομαι, Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ*
*ἐν ζαθέῳ με δέξαι θρόνῳ*
*ἀοίδιμον - Πιερίδων προφάταν.*

#### 92. 93 [93].

– –̣ ⏑ – – –̣ ⏖ – ⏖ ⏒
–̣ ⏑ – –
– –̣ ⏑ – – –̣ ⏖ – ⏖ –
– –̣ ⏖ – ⏖ –̣ ⏖ – – –̣ ⏑ ⏒
–̣ ⏖ – ⏖ . . :

---

Fr. 89. Schol. Aristoph. Eq. 1263.
Fr. 90. Aristid. II 510 Dind.
Fr. 92. 93. Strab. XIII 626.

*Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος*
*ἀμφίκειται.*

* * *

*ἀλλ' οἶος ἄπλατον κεράιζε θεῶν*
*Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ Ζεὺς πατὴρ*
*εἰν Ἀρίμοις ποτέ.*

## VI.

## ΠΑΡΘΕΝΙΑ.

### ΕΙΣ ΠΑΝΑ.

### 95 [63].

–́ ⏓ –⏑ ⏑ –́ ⏑ –   –́ ⏓ –⏑ ⏑ –́ ⏑ –
–́ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ –⏑⏑ –́ ⏑ – ⏑ –́ –

*Ὦ Πάν, Ἀρκαδίας μεδέων,*
*καὶ σεμνῶν ἀδύτων φύλαξ,*
*Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν*
*Χαρίτων μέλημα τερπνόν.*

### 96 [66].

–́⏑ ⏑ –  ⏑́⏑ ⏑ – ⏑ –́⏑ ⏑ –⏑ ⏑ –́
⏑⏑ –⏑ ⏑ –́ ⏑ –

*Ὦ μάκαρ, ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν*
*καλέοισιν Ὀλύμπιοι.*

### 97 [64].

*Τὸ σαυτοῦ μέλος γλάζεις.*

### ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

### 101 [70].

– – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ . .

Fr. 95. Schol. Pind. P. III 139.
Fr. 96. Aristot. Rhet. II 24 p. 1401ᵃ 15.
Fr. 97. Schol. Theocr. I 2.

*κινηθεὶς ἐπῄει*
*γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν ἄκραις ὀρέων ὕπερ ἔστα,*
*καὶ μυχοὺς διφάσατο βαλλόμενος κρηπῖδας ἀλσέων·*
*καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχεθε.*

102 [70].

⏑́⏑ – – ⏑́⏑ – ⏑⏑ – ⏑⏑ . . .
*ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.*

104 [69].

Schol. Theocr. II 10: *Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται εἶναι* (*παρεῖναι* coni. Bergk) *Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.*

VII.

## ΥΠΟΡΧΗΜΑΤΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙῼ.

105 A B [71. 72].

⏑́⏑ ⏑ – ⏑ ⏑́⏑ ⏑ –⏑ ⏑ ⏑́ ⏑ – ⏑́⏑ ⏑ – ⏑́ ⏑ – –
⏑⏑ ⏑́⏑ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑́ ⏑ ⏓
⏑⏑ ⏑́⏑ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏓
⏑́ ⏑ – ⏑ – – ⏑ . . .

*σύνες ὅ τοι λέγω, ζαθεῶν ἱερῶν ὁμώ-*
*νυμε πάτερ, κτίστορ Αἴτνας·*
*νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶ-ται στρατῶν*
*ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·*
*ἀκλεὴς ἔβα τῶνδε . . .*

---

Fr. 101 et 102. Strab. IX 412 sq. Ad Parthenia rettulit Boeckh II 595; verum inter hymnos referendum docet schol. Paus. IX 23 (Herm. 29, 149 et 246).
Fr. 102. Strabo l. l.
Fr. 105 A *σύνες . . Αἴτνας* schol. Pind. N. VII 1. P. II 127.
Fr. 105 B schol. Aristoph. Av. 938.

## 106 [73].



*'Από Ταϋγέτοιο μὲν Λάκαιναν*
*ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετόν.*
*Σκύριαι δ' ἐς ἄμελ-ξιν γλάγους*
*αἶγες ἐξοχώταται.*
*ὅπλα δ' ἀπ' Ἄργεος, ἅρμα Θη-βαῖον, ἀλλ' ἀπὸ τᾶς - ἀγλαοκάρπου*
*Σικελίας ὄχημα δαιδάλεον ματεύειν.*

## 107 [74].

### ΕΙΣ ΗΛΙΟΝ ΕΚΛΕΙΠΟΝΤΑ.



Fr. 106. Athen. I 28 A.

*Ἀκτὶς Ἀελίου, τί πολύσκοπε μήσεαι, ὦ - μᾶτερ ὀμμάτ*
*ἄστρον ὑπέρ-τατον ἐν ἁμέρᾳ - κλεπτόμενον,*
*ἔθηκας ἀμάχανον ἰσχὺν*
*πτανὸν ἀνδράσι καὶ σοφίας ὁδόν·*
*ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα*
*ἐλαύνεις τί νεώτερον ἢ πάρος;*
*ἀλλά σε πρὸς Διὸς ἵπ-πους ζαθόας ἱκετεύω*
*ἀπήμον' ἐς οἶ-μον τινὰ τράποις Θήβαις,*
*ὦ πότνια, πάγκοινον τέρας.*
*πολέμου δ' εἰ σᾶμα φέρεις τινός,*
*ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος*
*ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,*
*ἢ πόντου κενέωσιν ἂμ πέδον,*
*ἢ παγετὸν χθονός, ἢ νότιον θέρος*
*ὕδατι ζακότῳ διερόν,*
*ἢ γαῖαν κατακλύσαισα θήσεις*
*ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,*
*ὀλοφύρομαι οὐ-δέν, ὅτι πάν-των μέτα πείσομαι.*

108 [75].

⏑ –̈ ⏑ – –̇ ⏑ – –
⏑ –̈ ⏑ – –̇ ⏑ – –̇ ⏑ –
⏑ –̈ ⏑ ⏑⏑ –̇ ⏑ –
⏑ –̈ – ⏑ –̇ ⏑⏑ ⏓

*Θεοῦ δὲ δείξαντος ἀρχάν,*
*ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ*
*κέλευθος ἀρετὰν ἑλεῖν,*
*τελευταί τε καλλίονες.*

109 [228].

⏑ – –̈ ⏑ – –̈ ⏑ – ⏑ –̇ ⏑ –
⏑ – –̈ ⏑ –⏑ ⏑ –̇⏑ ⏑ –⏑ ⏑ –̇ ⏑ – –̈ ⏑ ⏓

---

*Fr.* 107. Dionys. de adm. vi dic. Demosth. 7.
*Fr.* 108. Socrat. epist. 1, 7.

⏖ ⏑ –⏑ ⏑ – ⏖ ⏑ ⏖ ⏑ –
⏑ ⏑ – ⏑ – ⏓
– ⏒ –⏑ ⏑ ⏓

*Τὸ κοινόν τις ἀσ-τῶν ἐν εὐδίᾳ τιθεὶς*
*ἐρευνασάτω μεγαλάνορος Ἡσυχίας τὸ φαι-δρὸν φάος,*
*στάσιν ἀπὸ πραπίδων - ἐπίκοτον ἀνελών,*
*πενίας δότειραν,*
*ἐχθρὰν κουροτρόφον.*

110 [76].

⏖ ⏑ – – ⏑ ⏖ – ⏑ – – ⏑ – ⏑ –
– –⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ – –

*Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπει-ραμένων δέ τις*
*ταρβεῖ προσιόντα νιν - καρδίᾳ περισσῶς.*

111 [77].

⏖ –⏑ ⏑ –⏑ ⏑ – ⏑ ⏓
– ⏑ – ⏑ –⏑ ⏑ – –
– ⏖ ⏑ – ⏑ – ⏑ – –
– –⏑ ⏑ – ⏑ – ⏑ – –
– –⏑ ⏑ – ⏑ – ⏑ – –

*Ἐνέπισε κεκραμέν' ἐν αἵματι·*
*πολλὰ δ' ἕλκε' ἔμβαλε νωμῶν*
*τραχὺ ῥόπαλον, τέλος δ' ἀείραις*
*ἀνδρὸς στιβαρὰς σπάραξε πλευράς,*
*αἰὼν δὲ δι' ὀστέων ἐραίσθη.*

112 [78].

⏑ – ⏑ – – ⏑ –⏑ ⏑ –

*Λάκαινα μὲν παρθένων ἀγέλα.*

---

Fr. 109. Stob. Flor. LVIII 9.
Fr. 110. Stob. Flor. L 3.
Fr. 111. Erotian p. 49 Klein.
Fr. 112. *Athen.* XIV 631 C.

### 116. 117 [82].

⏑ ⫶ – ⏑ ⫶⏑ ⏑ – ⏑ ⫶ –

*Ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι.*

*Ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.*

## VIII.

## ΕΓΚΩΜΙΑ.

### ΘΗΡΩΝΙ.

### 118 [83].

⫶ ⏑ – – ⫶ ⏑ – – ⫶ . . . .

*Βούλομαι παίδεσσιν Ἑλλάνων*

### 119 [84].

⫶ ⏖ – ⏖ – ⏓

– ⫶ ⏑ – – ⫶ ⏑ – – ⫶ ⏖ – ⏖ – –

⫶ ⏑ – – ⫶ ⏖ – ⏖ – –

⫶ ⏖ – ⏖ – – ⫶ ⏑ –

*Ἐν δὲ Ῥόδον κατένασθεν·*
*ἔνθεν δ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,*
*πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' ἀενάου πλούτου νέφος.*

### ΑΛΕΞΑΝΔΡΩι.

### 120 [85].

⫶ ⏑ – ⏓ ⫶ ⏖ – ⏖ –

⫶ ⏖ – ⏖ – –

*Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,*
*παῖ θρασύμηδες Ἀμύντα.*

---

Fr. 116 et 117. Hephaest. p. 78 G. sine poetae nomine.
Fr. 118. Schol. Pind. O. II 16.
Fr. 119. Schol. Pind. O. II 16.
Fr. 120. Schol. Pind. Nem. VII 1 et Dio Chrys. or. II 33.

### 121 [86].

. . ⏑ – – ⏒ ⏑ – – ⏒[⏖ – ⏖]– – – ⏒ ⏑ – –
⏒ ⏖ – ⏖ – – ⏒ ⏑ – – ⏒ ⏑ –
– ⏒ ⏑ – – ⏒ ⏑ – – ⏒ ⏖ – ⏑ . . .

*Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι . . . . καλλίσταις ἀοιδαῖς.*
*τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον·*
*ῥηθὲν σθένει, θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον.*

## IX.

## ΣΚΟΛΙΑ.

### ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι.

### 122 [87].

⏑ ⏒ ⏑ – ⏓ ⏒ ⏖ – ⏖ ⏓
– ⏒ ⏑ ⏖ – ⏒ ⏑ – –
⏒ ⏑ – – ⏒ ⏖ – ⏒ ⏑ – –
⏒ ⏑ – ⏓ ⏒ ⏖ – ⏖ – – ⏒ ⏖ – ⏖ –
⏑ ⏒ ⏑ – – ⏒ ⏑ – –

*Πολύξεναι νεάνιδες, ἀμφίπολοι* *Στρ. α'.*
*Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,*
*αἴτε τᾶς χλωρᾶς λιβάνου - ξανθὰ δάκρη*
*θυμιᾶτε, πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι*
*νόημα ποττὰν Ἀφροδίταν.*

*ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν,* *Στρ. β'.*
*ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς*

---

Fr. 121. Dionys. de adm. vi dic. Demosth. 26.

Fr. 122. Athen. XIII 573 F: *Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν* (scil. *Ξενοφῶντα τὸν Κορίνθιον*) *ἐγκώμιον, οὗ ἡ ἀρχή· τρισολυμπιονίκαν ἐπαινέων οἶκον* (O. XIII), *ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν, διόπερ ἔφη· Ὦ Κύπρου κτλ.*

*μαλθακᾶς ὥρας ἀπὸ καρ-πὸν δρέπεσθαι·*
*σὺν δ' ἀνάγκᾳ πᾶν καλόν. . . . .*
. . . . . . . . . . . . .

. . . . . . . . . . *Στρ. γ'.*
. . . . . . . . . .
*Ἀλλὰ θαυμάζω, τί με λε-ξοῦντι Ἰσθμοῦ*
*δεσπόται, τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου*
*ξυνάορον ξυναῖς γυναιξίν.*

*Διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ.* *Στρ. δ'.*
. . . . . . . . . . . . . . .
*Ὦ Κύπρου δέσποινα, τεὸν - δεῦτ' ἐς ἄλσος*
*φορβάδων κουρᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις*
*ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.*

## ΘΕΟΞΕΝΩι ΤΕΝΕΔΙΩι.

### 123 [88].

Strophae.

– –́ ⏑⏑ – ⏑⏑ –   –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
–́ ⏑ –   –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ –

Epodus.

– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
–́ ⏑⏑ – ⏑⏑ – ⏓ – . . . . .

*Στρ.*
*Χρῆν μὲν κατὰ καιρὸν ἐρώ-των δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·*

---

Fr. 123. Athen. XIII 601 D.

τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακεὶς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἢ σιδά-ρου κεχάλκευται μέλαιναν καρδίαν

Ἀντ.

ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδί-τας ἀτιμασθεὶς ἑλικοβλεφάρου,
ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ θράσει
ψυχρὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.
ἀλλ' ἐγὼ - θεᾶς ἕκατι, κηρὸς ὣς δαχθεὶς ἕλᾳ

Ἐπ.

ἱρᾶν μελισσᾶν, τάκομαι, εὖτ' ἂν ἴδω παιδὸς νεόγυιον ἐς ἥβαν.
ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν
καὶ Χάρις υἱὸν Ἀγησίλα.

## ΘΡΑΣΥΒΟΥΛῼ ΑΚΡΑΓΑΝΤΙΝῼ.

### 124 A. B. [89. 94].

–́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – || –́ ⏑ – – –́ ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑ – ⏓ –́ ⏑ –

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν,
τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τε γλυκερὸν
καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον,
δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον
καίπερ πεδ' ἄφθονον βοράν.

Fr. 124 A. Athen. XI 480 C; B Athen. XIV 641 B.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩι.

### 125 [91].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

*Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν*
*πρῶτος, ἐν δείπνοισι Λυδῶν*
*ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.*

### 126 [92].

–́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑⏑ –
– –́ ⏑ – ⏓ –́ ⏑ – –

*Μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τοι*
*φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.*

### 127 [236].

– –́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – – –́ ⏑⏑ – ⏓
– –́ ⏑⏑ – ⏑⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏓·

*Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν.*
*μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.*

### 128 [90].

. . . ⏑⏑ – ⏑⏑ –́ ⏑ – ⏑ –́ –
–́ ⏑ – –́ ⏑̄ – ⏑⏑ –́ ⏑⏑ – ⏑ –́ –
–́ ⏑ – . . . .

*Χάριτάς τ' Ἀφροδισίων ἐρώτων,*
*ὄφρα σὺν Χειμάρῳ μεθύων Ἀγάθωνί τε βάλλω*
*κότταβον.*

---

Fr. 125. Athen. XIV 635 D.
Fr. 126. Athen. XII 512 D.
Fr. 127. Athen. XIII 601 C.
Fr. 128. Athen. X 427 D.

## X.

# ΘΡΗΝΟΙ.

### 129. 130 [95].

–̇ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑⏑ – ⏑⏑ –
– –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – –
–̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – – –̇ ⏑ – ⏓ ||
– –̈ ⏑ – – –̇ ⏑⏑ – ⏓ –̈ ⏑ – –
–̈ ⏑ – – –̇ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – ⏓ –̇ ⏑ – ⏓ ||
– –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ ⏓
– –̈ ⏑⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – ||

*Στρ.*

Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός.
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,
τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος·
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.

* * *

Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον *Ἀντιστρ.*
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . .

### 131 [96].

–̈ ⏑ – ⏓ –̇ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – –
– –̇ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – ⏓ –̈ ⏑ –
– – ⏑⏑ – ⏑⏑ – –̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ ⏓
–̈ ⏑ – – –̇ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ – – –̇ ⏑ – –
– –̈ ⏑ – –̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ ⏓

---

Fr. 129. Plut. cons. ad Apoll. 35.
Fr. 131. *Plut. cons.* ad Apoll. 35.

*Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον μετανίσσονται τελευτάν.*
*καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,*
*ζωὸν δ' ἔτι λείπεται αἰ-ῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον*
*ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις*
*δείκνυσι τερ-πνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

132 [97].

*Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ ποτῶνται*
*ἐν ἄλγεσι φονίοις ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν,*
*εὐσεβέων δ' ἐπουράνιοι ναίουσαι*
*μολπαῖς μάκαρα μέγαν ἀείδουσιν ἐν ὕμνοις.*

133 [98].

⁝ ⏖ – ⏖ – – ⁝ ⏑ – – ⏑́ ⏑ ⏓
⁝ ⏖ – ⏖ – ⏓ ⁝ ⏑ – – ⁝ ⏖ – ⏖ ⏓
⁝ ⏑ – – ⏑́ ⏑ ⏓
– ⁝ ⏖ – ⏖ – – ⁝ ⏑ – – ⁝ ⏖ – ⏖ – ⏓
⁝ ⏑ – – ⏑́ ⏑ – – ⁝ ⏖ – ⏖ – ⁝ ⏑ – – ⏑́ ⏑ – –

*Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος*
*δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ Ϝέτεϊ*
*ἀνδιδοῖ ψυχὰς πάλιν·*
*ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι*
*ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται.*

134 [99].

. . . – ⏑́ ⏑ –
⁝ ⏑ – – ⏑́ ⏑ – –

Fr. 132. Clem. Alex. Strom. IV 640. **Fragmentum spurium.**
Fr. 133. Plat. Men. 81 B.

εὐδαιμόνων
δραπέτας οὐκ ἔστιν ὄλβος.

135 [100].

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

*Πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη.*

136 [101].

–́ ⏖ – ⏖ – – –́ ⏖ – –

*ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου.*

137 [102].

–́ ⏖ – ⏖ – – –́ ⏑ – ⏒ –́ ⏑ – ⏒ –́ ⏑ – –
– –́ ⏖ – ⏖ – –

*Ὄλβιος ὅστις ἰδὼν κεῖν' εἶσ' ὑπὸ χθόν'· οἶδε μὲν βίου τελευτάν,*
*οἶδεν δὲ διόσδοτον ἀρχάν.*

139.

–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ – – –́ ⏖ ⏒
–́ ⏑ – – –́ ⏖ – ⏖ – –́ ⏑ – ⏒ –́ ⏑ –
–́ ⏑ – – –́ ⏖ – ⏖ –
–́ ⏑ – ⏒ –́ ⏖ – ⏖ – –
–́ ⏖ – ⏖ – ⏒ –́ ⏖ – ⏖ ⏒
. . . . . . – – – ⏑ ⏒
–́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏖ – ⏖ –
– –́ ⏑ – – –́ ⏑ ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏒

---

Fr. 134. Stob. Flor. 103, 6.
Fr. 135. Schol. Pind. O. I 127.
Fr. 136. Aristid. I 130 Dind.
Fr. 137. Clem. Alex. Strom. III 518: *ἀλλὰ καὶ Πίνδαρος περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων λέγων ἐπιφέρει· ὄλβιος κτλ.*
Fr. 139. Schol. Eur. Rhes. 892 in loco evanido.

Ἔντι μὲν χρυσαλακάτου τεκέων [Λατοῦ]ς ἀοιδαὶ
ὥριαι παιανίδες· ἔντι [δ' ἄρ' ἀν]τέλλοντος εὔκισσ[ον στέφα]νον
ἐκ Διω[νύσου μεταμ]αιόμεναι· ταὶ δὲ κοί[μισ]αν τορὸ
[κᾶδος υἱῶν σώματ'] ἀποφθιμένων·
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει,
ἁ δ' Ὑμέναιον, ὃν ἐν γάμοισι χροϊζόμενον
. . . . . συμ πρωτον λάβεν
ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόρῳ
νούσῳ πεδαθέντα σθένος,
υἱὸν Οἰάγρου τε χρυσάορ' Ὀρφέα.

## XI.

## ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

### 140 [104].

⏖́ ⏑ ⏖ ⏑ ⏓

Τί θεός; ὅ τι τὸ πᾶν.

### 141 [105].

⏑ ⏖́ ⏑ – ⏑ – –́ ⏑ –
– ⏖́ ⏑ – –́ ⏑ – –

Θεὸς ὁ τὰ ⟨τερπνὰ⟩ πάντα τεύ-χων βροτοῖς
καὶ χάριν ἀοιδᾷ φυτεύει.

### 142 [106].

⏑ –́ ⏑ ⏖ ⏑ – ⏑ – –
– ⏖́ ⏑ – ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ –⏑ ⏑ – ⏑ – –
⏖́ ⏑ – ⏑ – ⏑ ⏓

Fr. 140. Clem. Al. Strom. v 726.
Fr. 141. Clem. Al. Strom. v 726.
Fr. 142. Clem. Al. Strom. v 708

*Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας*
*νυκτὸς ἀμίαντον ὄρ-σαι φάος,*
*κελαινεφεῖ δὲ σκότει καλύψαι*
*καθαρὸν ἁμέρας σέλας.*

143 [106].

–́ ⏓ –⏑ ⏑ –⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ – – ⏖ ⏑ –
– –́ ⏑ – ⏑ ⏖ ⏑ – ⏓

*Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι*
*πόνων τ' ἄπειροι, βαρυβόαν*
*πορθμὸν πεφευγότες Ἀχέροντος.*

144 [108].

⏖́ ⏑ – ⏓ –́ ⏑ –

*Ἐλασίβροντα παῖ Ῥέας.*

145 [109].

*Θεὸς ἅτε πλέον τι λαχών.*

146 [112].

. . . – ⏑ – ⏑ –⏑ ⏑ – –
– –́ ⏑ – ⏑ –⏑ ⏑ – ⏑ – –
–́ ⏑ –

*Πῦρ πνέοντος ἅ τε κεραυνοῦ*
*ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς*
*ἵζεαι.*

147 [114].

–́ ⏑ – ⏑ ⏖́ ⏑ – –

*Ἐν χρόνῳ δ' ἐγένετ' Ἀπόλλων.*

---

Fr. 143. Plut. de superst. 6.
Fr. 144. Schol. Aristoph. Eq. 624.
Fr. 145. Aristid. I 11 Dind.
Fr. 146. Schol. Hom. Ω 100.
Fr. 147. Clem. Alex. Strom. I 383.

148 [115].

–̈ ⏓ –⏑ ⏑ – ⏑ – –
–̈⏑ ⏑ – ⏑ – –

Ὀρχήστ' ἀγλαΐας ἀνάσσων,
εὐρυφάρετρ' Ἄπολλον.

149 [116].

⏑ –̈ ⏑ – – –̈ ⏑⏑ – ⏑⏑ – –

Κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν.

150 [118].

– –̈ ⏑⏑ – ⏑⏑ – – –̈ ⏑ –

Μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ.

151 [119].

Μοῖσ' ἀνέηκέ με.

152 [266].

. . . . . . ⏑ –̈ ⏑ – – –̇ ⏑ –
⏑ –̈ ⏑⏑ – ⏑⏑ – –

Μελισσοτεύκτων κηρίων
ἐμὰ γλυκερώτερος ὀμφά.

153 [125].

–̈ ⏓ –⏑ ⏑ –
⏑⏑ –̈ –⏑ ⏑ –̇ –
–̈ ⏑ – –̇ ⏑ –⏑ ⏑ –̇ –

Δενδρέων δὲ νομὸν
Διόνυσος πολυγαθὴς
αὐξάνων - ἁγνὸν φέγγος ὀπώρας.

---

Fr. 148. Athen. I 22 B.
Fr. 149. Plut. adv. Epic. 22: ὁ δ' Ἀπόλλων κατεκ θνατοῖς ἀγανώτατος ἔμμεν, ὡς ὁ Πίνδαρός φησιν.
Fr. 150. Eust. Il. 9, 44.
Fr. 151. Eust. Il. 9, 40.
*Fr.* 152. Cramer An. Ox. I 285, 19.
*Fr.* 153. Plut. de Isid. 35.

154 [126].

*Ἐλαφρὰν κυπάρισσον φιλέειν,*
*ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.*
*ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς,*
*πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.*

155 [127].

. . . ⏑ – – ⏑ –
– ⏑ –⏑ ⏑ – –
⏑⏑ – ⏑ – ⏑ – –
– – ⏑ –⏑ ⏑ – ⏑ – –
– ⏑ –⏑ ⏑ . . .

*τί δ' ἔρδων φίλος*
*σοί τε, καρτερόβροντα*
*Κρονίδα, φίλος δὲ Μοίσαις,*
*Εὐθυμίᾳ τε μέλων ἂν εἴην,*
*τοῦτ' αἴτημί σε.*

156 [57].

–⏑ ⏑ –⏑ ⏑ – ⏑ –
–⏑ ⏑ – ⏑⏑ ⏑ – ⏑ – ⏑ –
⏑ – – – – –

*Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος,*
*ὃν Μαλεά-γονος ἔθρεψε Ναΐδος*
*ἀκοίτας Σιληνός.*

157 [128].

– ⏑ – ⏑ –⏑ ⏑ –⏑ ⏑ – –
–⏑ ⏑ –⏑ ⏑ – ⏑ –

*Ὦ τάλας ἐφάμερε, νήπια βάζεις*
*χρήματά μοι διακομπεύων.*

---

Fr. 154. Plut. de exil. 9.
Fr. 155. Athen. v 191 F — ὅ τι coni. Bergk
Fr. 156. Paus. III 25, 2.
Fr. 157. Schol. Aristoph. Nub. 223.

158 [129].

–̇ ⏑⏑ – ⏑⏑ – – –̇ ⏑ – . .

*Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.*

159 [132].

– –̇ ⏑ – –̇ ⏑ – – –̇ ⏑ – –

*Ἀνδρῶν δικαί-ων χρόνος σωτὴρ ἄριστος.*

160.

*Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.*

161.

*Οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται.*

162.

. . . . . . – – –̇ ⏑ –
–̇ ⏑⏑ – ⏑⏑ – –

*Πιτνάντες θοὰν*
*Κλίμακ' ἐς οὐρανὸν αἰπύν.*

163 [137].

– –̇⏑ ⏑ – ⏑ – –̇ ⏑ – –̇ ⏑ –⏑ ⏑ – –

*Ἀλλαλοφόνους ἐπάξ-αντο λόγ-χας ἐνὶ σφίσιν αὐτοῖς.*

164 [142].

*Φιλόμαχον γένος ἐκ Περσέος.*

---

Fr. 158. Schol. Pind. P. IV 104.
Fr. 159. Dionys. Halic. de orat. ant. 2.
Fr. 160. Stob. Flor. 126, 2.
Fr. 161. Suidas v. *κατωκάρα*. Schol. Aristoph. Pac. 153. De Cercopibus interpretatur Bergk, de Titanibus Boeckh.
Fr. 162. Cramer An. Ox. I 201, 14: *Πίνδαρος ἐπὶ τοῦ Ὤτου καὶ Ἐφιάλτου· πίτνοντες κτλ.*
Fr. 163. Apoll. Dysc. de synt. II 179 Bekk., de iisdem Oto et Ephialto.
Fr. 164. Athen. IV 154 F.

## 165 [146].

– ⏑ – – – ⏑ – – – ⏑ – –

*Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.*

## 166 [147].

– ⏖ – ⏖ – – – ⏑ – – – ⏖ – ⏖ – –
– ⏖ – ⏖ – – – ⏖ – ⏖ – –
– ⏖ – ⏖ – – – ⏖ – ⏖ –
– – ⏑ – – – ⏑ . . . .

*Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,*
*ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν*
*ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων*
*πίνοντες ἐπλάζοντο.*

## 167 [148].

. . . . . ⏑ – – – ⏖ – ⏖ –
– ⏑ – – – ⏑ – – – ⏖ –

*ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς*
*οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.*

## 168 [150].

. . . . . . . . . . . . . . – ⏖ –
– ⏖ – ⏖ – – – ⏖ – ⏖ ⏒
– ⏖ – ⏖ – – – ⏖ –
– ⏖ – – – ⏑ – – ⏑ ⏒
– ⏖ – ⏖ – ⏒ – ⏑ – – – ⏑ –

---

Fr. 165. Plut. Amator. 15, de def. orac. 11. Schol. Apoll. Rhod. II 477. Et. M. 75, 44. De nymphis Dryadibus poeta loquitur; cf. fr. 153. 252.

Fr. 166. Athen. XI 476 B (Eust. Il. 916, 39): *Πίνδαρος μὲν ἐπὶ τῶν Κενταύρων λέγων· ἀνδροδ. κτλ.*; respicit Hor. C. I 18, 8. IV 2, 15.

Fr. 167. Schol. Apoll. Rhod. I 57.

Fr. 168. *Athen.* X 411 C.

*Δοιὰ βοῶν*
*θερμὰ δ' ἐς ἀνθρακιὰν στέψαν, πυρὶ δ' ἐν πόλεον*
*σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν*
*ἄιον ἠδ' ὀστέων στεναγ-μὸν βαρύν·*
*ἦν διακρῖναι ἰδόντα πολλὸς ἐν καιρῷ χρόνος.*

## 169 [151].

⏖ ⏑ – ⏑́ ⏑ ⏑ –
–́ –⏑ ⏑ –́⏑ ⏑ –
⏑ –́ ⏑ – –́⏑ ⏑ –⏑ ⏑ ⏓
⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ –
– –́ ⏑ – ⏑ ⏖ ⏑ – –́⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏑ –́⏑ ⏑ – – –́ ⏑ ⏓
⏑ –́ – –́⏑ ⏑ –⏑ ⏑ –́⏑ ⏑ ⏓

*Νόμος ὁ πάντων βασιλεὺς*
*θνατῶν τε καὶ ἀθανάτων*
*ἄγει δικαι-ῶν τὸ βιαιότατον*
*ὑπερτάτᾳ χειρί. τεκμαίρομαι*
*ἔργοισιν Ἡρακλέος· ἐπεὶ - Γηρυόνα βόας*
*Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος*
*ἀναιτήτας τε καὶ ἀπριάτας ἔλασεν.*

## 170 [154].

–́ ⏖ – ⏖ ⏓

*Πάντα θύειν ἑκατόν.*

## 171 [157].

. . . . . . ⏖ – ⏖ –́ ⏖ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

---

Fr. 169. Plato Gorg. 484 B. Ultimos versus integros se vavit schol. Aristid. III 408 Dind.
Fr. 170. Strab. III 155 de Lusitanis.
*Fr.* 171. Porphyr. in schol. Il. K 252 de Hercule Neleu eiusque filios occidente.

*Κατὰ μὲν φίλα τέκν' ἔπεφνεν*
*θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον.*

172 [258].

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ –  –́ ⏑ – – –́ ⏑ –

*Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν μυρίοις;*
*πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον*
*καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν, καὶ τὸν Ἰάσονος*
*εὔδοξον πλόον*
*ἐκτελέσσαις εἷλε Μή-δειαν ἐν Κόλχων δόμοις.*

173 [610].

*Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.*

174. 175. 176 [169. 161. 162].

Paus. VII 2, 7: *πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν· οὐ μὴν πάντα γε τὰ εἰς τὴν θεὸν ἐπύθετο, ἐμοὶ δοκεῖν, Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα* — Idem I 2, 1: *ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος· ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι* — Plut. vit. Thes. 28: *τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε (Θησεύς) Φαίδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα.*

---

Fr. 172. Schol. Eur. Androm. 796: *λέγει δὲ Πίνδαρος· οὐ* (*Πίνδαρος οὕτω*· Cobet probabiliter) *κτλ.*

Fr. 173. Strabo XII 544: *καὶ Πίνδαρός φησιν ὅτι αἱ Ἀμαζόνες Σύριον . . στρατόν, τὴν ἐν Θεμισκύρᾳ κατοικίαν οὕτω δηλῶν.*

## 177 [164—168].

⏒ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ –
–́ –⏑ ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ –

*Πεπρωμέναν ἔθηκε μοῖ-ραν μετατραπεῖν*
*Ἀνδροφθόρον, οὐδὲ σι-γᾷ κατερρύη.*

⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –

*Τρόχον μέλος, ταὶ δὲ Χεί-ρωνος ἐντολαί.*

⏒ –́ ⏑ – ⏑ – || –́⏑ ⏑ – ⏑ –

*Αἴνιγμα παρθένου || ἐξ ἀγριᾶν γνάθων.*

⏒ –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –

*Ἐν δασκίοισιν πατὴρ - νηλεεῖ νόωι.*

⏒ –́ ⏑ – ⏑ – || ⏒ –́ ⏑ – ⏑ ⏓

*δ' οὐδὲν προσαιτέων || ἐφθεγξάμαν ἔπι*

## 178 [169].

⏑ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ ⏓

*Νόμων ἀκούοντες θεόδματον κέλαδον.*

## 179 [170].

*Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον ἄνδημα.*

## 180 [172].

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓

*Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀρχαῖον λόγον*
*ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός,*
*κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.*

---

Fr. 177. Priscian. de metr. Terent. p. 427 ed. Keil.
Fr. 178. Priscian. de metr. Terent. p. 428, 19 K.
Fr. 179. Schol. Pind. N. VII 116.
Fr. 180. Clem. Alex. Strom. I 345 — ἀχρεῖον coni. B

181 [174].

. . . . ⏑⏑ – – ⏗ ⏑⏑ – ⏑⏑ – – ⏗ ⏑ –

*Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.*

182 [175].

⏗ ⏑⏑ – ⏑⏑ – – ⏗ ⏑⏑ – ⏑⏑ –
⏗ ⏑ – ⏓

*Ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων*
*οὐκ ἰδυῖα.*

183 [177].

⏗ ⏑⏑ – ⏑⏑ – ⏑⏑ ⏑ – – ⏗ ⏑ – –
⏗ ⏑⏑ – ⏑⏑ – ⏑⏑ ⏑ – ⏓ – . . .

*Ὃς Δολόπων ἄγαγε - θρασὺν ὅμιλον σφενδονᾶσαι,*
*ἱπποδάμων Δαναῶν - βέλεσι πρόσφορον.*

184 [179].

⏑ ⏗ ⏑ ⏑⏑ ⏑ ⏗ ⏑ – ⏑ ⏗ ⏓

*Ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν.*

185 [184].

⏑⏑ ⏑ – ⏑ – ⏗ ⏑ – ⏑ ⏓

*Ἔτι δὲ τειχέων - κακίει καπνός.*

186 [185].

– ⏗ ⏑ – – ⏗ ⏑ – – ⏗ ⏑ – –
⏗ ⏑⏑ – ⏑⏑ – ⏓

*Αὐτόν με πρώτιστα ξυνοικιστῆρα γαίας*
*ἔσδεξαι τεμενοῦχον.*

---

Fr. 181. Schol. Pind. N. VII 89.
Fr. 182. Aristid. II 547 Dind.
Fr. 183. Strab. IX 431: *Πίνδαρος μνησθεὶς τοῦ Φοίνικος· ὃς κτλ.*
Fr. 184. Choerobosc. I 131, 33. 149, 8. II 382, 10 Hilg.
Fr. 185. Et. Gud. 321, 54. Cram. An. Par. IV 35, 24.
Fr. 186. *Apoll.* de synt. II 138.

### 187 [186].

– –̈ ⏑ – – –̇ ⏑ – – –̈ ⏖ – ⏖ ⏓

*Ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεζαν ἅμα.*

### 188 [190].

–̈ ⏑ – – –̇ ⏑ – – –̇ ⏑ – – –̈ ⏖ – ⏖ – ⏓

*Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου ἀνδρός.*

### 189 [197].

. . . . . –̈ – ⏖ ⏗ ⏖ –̈ – ⏖ –̇ – ⏖ –̇ ⏓

*Τὰν δείματο τοὶ - μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.*

### 190 [198.]

– –̈ ⏑ – – –̈ ⏖ – . . .

*Ἁ Μιδύλου δ' αὐτῷ γενεά.*

### 191 [201].

–̈ ⏑ – ⏑ –̇ ⏑ – ⏑ –̈ ⏑ – ⏑ –̇ –

*Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.*

### 192 [204].

*Δελφοὶ θεμίστων [ὕμνων] μάντιες Ἀπολλωνίδαι.*

### 193 [205].

. . . . . . –̈ ⏖ – ⏖ – –

– –̈ ⏖ – –̈ ⏑ – – –̈ ⏖ – ⏖ – –̈ ⏑ –

---

Fr. 187. Plut. Quaest. symp. II 10, 1.
Fr. 188. Strab. XIV p. 643.
Fr. 189. Schol. Aristoph. Vesp. 306 de Xerxe.
Fr. 190. Schol. Pind. P. VIII 53.
Fr. 191. Schol. Pind. P. II 127.
Fr. 192. Schol. Pind. P. IV 4.
Fr. 193. Vit. Pind. A.

*Πενταετηρὶς ἑορτὰ*
*βουπομπός, ἐν ᾇ - πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ - σπαργάνοις.*

194 [206].

∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏖ – ⏖ – –
∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ –
∸ ⏑ – – ∸ ⏖ –
– ∸ ⏑ – – ∸ ⏖ – ⏖ – – ∸ ⏖ – ⏖ – – ∸ ⏑ –
∸ ⏑ – – ∸ ⏑ – –

*Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς.*
*εἶα τειχίζωμεν ἤδη ποικίλων*
*κόσμον αὐδάεντα λόγων·*
*ὃς καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως*
*Θήβαν ἔτι μᾶλλον ἐπασκήσει θεῶν*
*καὶ κατ' ἀνθρώπων ἀγυιάς.*

195 [207].

– ∸⏑ ⏑ –⏑ ⏑ ∸⏑ ⏑ – ⏖ ⏑ – ⏑ ∸ –
*Εὐάρματε χρυσοχίτων, ἱερώ-τατον ἄγαλμα, Θήβα.*

196 [209].

⏖ ∸ ⏑ – ∸ ⏑ – ⏑ –
*Λιπαρᾶν τε Θη-βᾶν μέγαν σκοπόν.*

198.

– – ∸ ⏑ ⏓
∸ ⏖ – ⏖ – ∸ ⏑ – – ∸ ⏑ – – ∸ . . .
*Οὔτοι με ξένον*
*οὐδ' ἀδαήμονα Μοι-σᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι . .*

---

Fr. 194. Aristid. II 509 Dind.
Fr. 195. Schol. Pind. P. IV 25. P. II inscr.
Fr. 196. Schol. Pind. P. II inscr.
Fr. 198. Chrysipp. *περὶ ἀποφατικῶν* c. 2, sine poetae nomine.

### 198 B. [211].

⏑⏑ ∸ ⏑ – ⏑ ⏑⏑ ⏑ –
∸ ⏑̄ –⏑ ⏑ – ⏑ – –

*Μελιγαθὲς ἀμβρόσιον ὕδωρ*
*Τιλφώσσας ἀπὸ καλλικράνου.*

### 199 [213].

∸ ⏑ – ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – –
∸ ⏑ – – ∸ ⏑⏑ – ⏑⏑ –

*Ἔνθα βου-λαὶ γερόντων καὶ νέων*
*ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,*
*καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.*

### 200 [214].

*Οἵ τ' ἀργείλοφον παρ Ζεφύριον κολώναν.*

### 201 [215].

– ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – –
∸ ⏑ – – ∸ ⏑⏑ – ⏑⏑ –
⏑⏑ ⏑ – ⏓ ∸ ⏑ – – ∸ . . . .

*Αἰγυπτίαν Μένδητα, παρ κρημνὸν θαλάσσας,*
*ἔσχατον Νείλου κέρας, αἰγιβάται*
*ὅθι τράγοι γυναιξὶ μίσγονται.*

### 202 [216].

. . . . . . – – ∸ ⏑ – – ∸ ⏑ – –

*Λευκίππων Μυκηναίων προφάτᾳ.*

### 203 [217].

∸ – ⏑⏑ ∸ – ⏑⏑ ∸ ⏑ –
⏑⏑ ∸ – ⏑⏑ ∸ –

---

Fr. 198 B. Athen. II 41 *E.*
Fr. 199. Plut. vit. Lyc. 21 de Sparta.
Fr. 200. Schol. Pind. O. XI 17 de Locris Epizeph
*Fr.* 201. Aristid. II 484 Dind.
*Fr.* 202. Schol. Pind. P. IV 206.

⏑ –́ – ⏖ –́ ⏑ –
⏖ –́ – ⏖ –
⏖́ ⏑ – ⏑ –́ – ⏖ –́ ⏖ ⏑ –

*Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι*
*νεκρὸν ἵππον στυγέοισιν*
*λόγῳ κείμενον ἐν φάει,*
*κρύφᾳ δὲ σκολίοις*
*γέννσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάν.*

204 [218].

*Καὶ λιπαρῷ Σμυρναίων ἄστεϊ.*

205 [221].

– –̈ ⏖ – ⏖ – – –́ ⏑ – –̈ ⏑ – – –́ ⏑ –
–̈ ⏑ – – –́ ⏑ – – –́ . . . .

*Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλά-*
*θεια, μὴ πταίσῃς ἐμὰν*
*σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.*

206 [222].

. . . . ⏖ – ⏖ – ⏓
–̈ ⏑ – ⏓ – . . . . .

*Παρὰ Λύδιον ἅρμα*
*πεζὸς οἰχνεύων*

207 [223].

–̈ ⏑ – – –́ ⏑ – – ⏖̈ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

*Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανέος σφυρηλάτοις*
*⟨δεσμοῖς⟩ ἀνάγκας.*

---

Fr. 203. Zenobius v 59.
Fr. 204. Schol. Pind. P. II inscr.
Fr. 205. Stob. Flor. 11, 3.
Fr. 206. Plut. vit. Nic. 1.
Fr. 207. Plut. Cons. ad Apoll. 6.

208 [224].

⏑⏑ –́⏑ ⏑ – ⏑ –́⏑ ⏑ –
–́ –⏑ ⏑ –́ ⏑ –

*Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμεναι*
*ῥιψαύχενι σὺν κλόνῳ.*

209 [227].

. . . ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –

*'Ατελῆ σοφίας καρπὸν δρέπειν.*

211 [230].

. . . ⏑ – ⏑⏑ – – –́ ⏑⏑ –
–́ ⏑ . . .

*Κακόφρονά τ' ἀμφάνῃ πραπίδων*
*καρπόν.*

213 [232].

⏑⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ –́ ⏑⏑ – ⏓
⏑ –́ ⏑⏑ – ⏑⏑ – –
⏑⏑ –́ ⏑⏑ – ⏑ – ⏑ – –

*Πότερον δίκᾳ - τεῖχος ὕψιον*
*ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει*
*ἐπιχθόνιον γένος ἀνδρῶν,*
*δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.*

214 [233].

⏑ –́ ⏑ – –́ ⏑ –
⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏓
– –́ ⏑ – – . . .

---

Fr. 208. Plut. Quaest. symp. VII 5, 4. I 5, 2. De def. ora
Fr. 209. Stob. Flor. 80, 4. Apophthegma in vita Pin
Fr. 211. Plut. de ser. num. vind. 19.
*Fr.* 213. Plat. de rep. II 363 B.
*Fr.* 214. Plat. de rep. I p. 331 A.

*Γλυκεῖά Ϝοι καρδίαν*
*ἀτάλλοισα γηροτρόφος ξυναορεῖ*
*ἐλπίς, ἃ μάλιστα θνα-τῶν πολύστροφον*
*γνώμαν κυβερνᾷ.*

215 [152].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
⏑ –́ ⏑ . . . .

*Ἄλλο δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.*

216 [235].

⏑ –́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –

*Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.*

217 [237].

⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏓

*Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.*

218 A. B. [239].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
. . . . – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓

*Ἁνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι*
*στηθέων ἔξω, πελάγει - δ' ἐν πολυχρύσοιο πλούτου*
*πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·*
*ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες . . .*
*. . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.*

---

Fr. 215. Cramer An. Par. III 154, 13.
Fr. 216. Plut. Cons. ad Apoll. 28.
Fr. 217. Clemens Al. Paed. III 295.
Fr. 218. Athen. XI 782 D.

219 [240].

*Οἱ δ' ἄφνει πεποίθασιν.*

220 [241].

. . . . . . . . ⏒ ⏕ – ⏕ – –

– ⏒ ⏑ – – ⏒ . . . – ⏒ ⏑ – –

– ⏒ ⏑ – ⏒ ⏑ – ⏓

*Τῶνδε γὰρ οὔτε τι μεμπτὸν*
*οὔτ' ὦν μεταλλακτόν, . . . ὅσσ' ἀγλαὰ χθὼν*
*πόντου τε ῥιπαὶ φέροισιν.*

221 [242].

. . ⏑ – ⏕ – ⏒ ⏑ – – ⏒ ⏑ – –

⏒ ⏖ – ⏕ – – ⏒ ⏑ – – ⏒ ⏕ – ⏕ –

⏒ ⏑ – ⏓ ⏒ ⏕ – ⏕ ⏓

⏒ ⏕ – ⏒ ⏑ – – ⏒ . . .

*'Αελλοπόδων - μέν τιν' εὐφραίνοισιν ἵππων*
*τιμαὶ καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλά|*
*βιοτά·*
*τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον*
*ναΐ θοᾷ - σῶς διαστείβων.*

222 [243].

. . . . ⏑ – ⏒ ⏑ – ⏔

⏒ ⏑ – – ⏒ ⏑ – – ⏒ . . .

. ⏕ – ⏕ – – ⏒ ⏕ –

*Διὸς παῖς ὁ χρυσός·*
*κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει . . .*
*. . . βροτέαν φρένα κάρτιστον κτεάνων.*

---

Fr. 219. Et. M. 178, 10.
Fr. 220. Plut. Quaest. symp. VII 5, 3.
Fr. 221. Sext. Emp. Pyrr. hyp. I 86. — 2. *τιμαὶ* c *τίμια* corr. Boeckh, *ἄνθεα* Bergk probabiliter.
Fr. 222. Schol. Pind. P. IV 408.

### 223 [244].

⁝– ⏑ – – ⁝– ⏑⏑ – – ∸ ⏑ –
⁝– ⏑ – – ⁝– ⏑⏑ – ⏑⏑ –
⁝– ⏑ . . . – ⏑⏑ – . . .

*Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν*
*αἰχμάλωτοι καὶ χρυσέων βελέων*
*ἐντὶ . . . τραυματίαι.*

### 225 [247].

. . ⏑⏑ ⏑⏑ ⏑ – ⏑ – –
⏑ ⁝– ⏑ – ∸⏑ ⏑ – ∸⏑ ⏑ – ⏑̄

*Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ,*
*πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν.*

### 226 [248].

⁝– ⏑⏑ – ⏑⏑ ∸ ⏑⏑ .

*Οὔτις ἑκὼν κακὸν εὕρετο.*

### 227 [250].

. . . . . ⏑ – ⏑⏑ – – ⁝– ⏑ – – ∸ ⏑⏑ –
⁝– ⏑ – – ∸ ⏑ – – ∸ ⏑ –
⁝– ⏑⏑ – ⏑⏑ – – ⁝– ⏑ . . . . .

*Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι*
*δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ*
*ἔργα μετ᾽ αἰθέρα λαμπευθέντα.*

### 228 [262].

*Τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.*

---

Fr. 223. Theodor. Metoch. 562.
Fr. 225. Schol. Pind. O. II 40.
Fr. 226. Aristid. II 547 Dind.
Fr. 227. Clem. Alex. Strom. IV p. 586.
Fr. 228. *Plut.* an sen. 1.

229 [253].

– ⏒ ⏑ – ⏑ ⏒⏑ ⏑ – ⏑ ⏒ ⏑ – –
⏒ ⏑ – ⏑ ⏒⏑ ⏑ – –

*Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται*
*οὐ φίλων ἐναντίον ἐλθεῖν.*

231 [255].

– ⏒ ⏑ –⏑ ⏑ – –⏑ ⏑ – – ⏑ ⏑⏑ ⏑ – ⏑̄

*Τόλμα τέ νιν ζαμενὴς - καὶ σύνεσις - πρόσκοπος ἐσάωσεν.*

232 [256].

– ⏒ ⏑⏑ – ⏑⏑ – – ⏒ ⏑ – – ⏒ ⏑ . . .

*Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδαροῦν τεῖχος.*

233 [257].

– ⏒ ⏑ – – ⏒ ⏑ . .

*Πιστὸν δ' ἀπίστοις οὐδέν.*

234 [258].

⏑ – ⏑⏑ – ⏓
⏒ ⏑ – – ⏒⏑⏑ – ⏒ ⏑ – ⏓ ⏒ ⏑ – ⏓
– ⏒ ⏑ – – ⏒⏑⏑ – ⏑⏑ – – ⏒ ⏑ – – ⏒ . . . .

*Ὑφ' ἅρμασιν ἵππος,*
*ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' - ἰθύει τάχιστα δελφίς·*
*κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν.*

---

Fr. 229. Schol. Pind. O. VIII 92. P. IX 160.
Fr. 231. Schol. Pind. N. VII 87.
Fr. 232. Plut. vit. Marc. 29.
Fr 233. Clem. Alex. Paed. III 307; cf. O. I 32.
Fr. 234. Plut. de virt. mor. 12.

235 [259].

. . . . . ⏑⏑ – ⏒ –⏑ ⏑ – ⏑ ⏓
–⏑ ⏑ –⏑ ⏑ – ⏒ –⏑ ⏑ –
⏒ – ⏑ – –⏑ ⏑ – ⏑ ⏓

*Ἐρεθίζομαι . . . ἁλίου δελφῖνος ὑπόκρισιν,*
*τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει*
*αὐλῶν ἐκί-νησ' ἐρατὸν μέλος.*

236 [260].

⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ –

*φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.*

237 [261].

. . . . . ⏑ – ⏑⏑ – – ⏑ – –
⏑ – ⏑ – – – ⏑ –

*Ὄπισθε δὲ κεῖ-μαι θρασειᾶν*
*ἀλωπέκων ξανθὸς λέων.*

238 [262].

– ⏑ – – – ⏑ – – – ⏑ – ⏓ – ⏑ – –

*Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων τε καὶ λεόντων.*

239 [265].

⏑⏑ – ⏑ – – –⏑ ⏑ – ⏑ – –

*Ἰάχει βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.*

240 [269].

. . . . – – – ⏑ – –

*Μὴ σιγᾷ βρεχέσθω.*

---

Fr. 235. Plut. Quaest. symp. VII 5, 2.
Fr. 236. Schol. Od. κ 240.
Fr. 237. Aristid. II 509 Dind.
Fr. 238. Schol. Pind. P. II 31.
Fr. 239. Herodian de fig., Rhet. gr. Sp. III 100, 28.
Fr. 240. Schol. Pind. O. XI 58.

241 [280].

⏑⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ – ⏑ ⏑́ ⏑ –

*Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.*

256 [155].

Strab. III 170: *καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας, εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.* Idem p. 172: *καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας.* Conf. N. III 22.

258 [163].

Paus. I 41, 5: *Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον* (*βουλόμενος* codd.), *ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.*

259 [176].

Schol. Townl. Il. *Π* 170 (Cram. An. Par. III 286, 27): *καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.*

262 [181].

Schol. B ad Hom. *K* 435: *ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας* (*Ῥῆσος*) *πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.*

264 [189].

Ps. Plut. vit. Hom. II 2: *Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον.* Vit. Hom. v. West.: *τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος* (scil. *Ὅμηρος*); conf. fr. 204.

---

*Fr.* 241. Athen. VI 248 C.

*Γλυκεῖά Ϝοι καρδίαν*
*ἀτάλλοισα γηροτρόφος ξυναορεῖ*
*ἐλπίς, ἃ μάλιστα θνα-τῶν πολύστροφον*
*γνώμαν κυβερνᾷ.*

215 [152].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ –
⏑ –́ ⏑ . . . .

*Ἄλλο δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.*

216 [235].

⏑ –́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –

*Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.*

217 [237].

⏑́⏑ ⏑ –⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏓

*Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.*

218 A. B. [239].

–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
. . . – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓

*Ἁνίκ' ἀνθρώπων καματωδέες οἴχονται μέριμναι*
*στηθέων ἔξω, πελάγει - δ' ἐν πολυχρύσοιο πλούτου*
*πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·*
*ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες . . .*
*. . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.*

---

Fr. 215. Cramer An. Par. III 154, 13.
Fr. 216. Plut. Cons. ad Apoll. 28.
Fr. 217. Clemens Al. Paed. III 295.
Fr. *218.* *Athen.* XI 782 D.

306.

Schol. Townl. ad Il. *Φ* 22: *καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους*. Idem fragm. sine nomine poetae Choerob. I 383, 6 H.

316. 317 [182. 183].

Eust. ad Il. p. 877, 55: *εἶτά φησιν (Ἀριστοφάνης Βυζ.) ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν.*

325 [285].

Et. M. 504, 3: *κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια.* Cf. Eust., Prol. Pind. cv 15. Pindari verba repetiit Aristoph. Nub. 597.

326 [220].

Galen. de puls. diff. VIII 681: *Πίνδαρος ἤ τις ἥ· Ὠκεανοῦ τὰ πέταλα, τὰς κρήνας λέγων.*

# VITA PINDARI.

## A.

## EX SCHOLIIS AMBROSIANIS EXCERPTA.

*Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοκεφάλων (κώμη δέ ἐστι Θηβαϊκή), υἱὸς δὲ Δαϊφάντου, κατὰ δ' ἐνίους Παγώνδα· ἔνιοι δὲ Σκοπελίνου αὐτὸν γενεαλογοῦσι, τινὲς δὲ τὸν Σκοπελῖνον πάτρωον αὐτοῦ γενέσθαι καὶ αὐλητὴν ὄντα τὴν τέχνην διδάξαι· μητρὸς δὲ Κλεοδίκης· οἱ δὲ Κληδίκης γράφουσι. παῖδα δὲ ὄντα [ὁ Πίνδαρος, ὡς] Χαμαιλέων καὶ Ἴστρος φασὶ περὶ τὸν Ἑλικῶνα θηρῶντα αὐτὸν ὑπὸ πολλοῦ καμάτου εἰς ὕπνον κατενεχθῆναι, κοιμωμένου δὲ αὐτοῦ μέλισσαν τῷ στόματι προσκαθίσασαν κηρία ποιῆσαι. οἱ δέ φασιν ὅτι ὄναρ εἶδεν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες εἶναι αὐτοῦ τὸ στόμα, καὶ ἐπὶ ποιητικὴν ἐτράπη. διδάσκαλον δὲ αὐτοῦ Ἀθήνησιν οἱ μὲν Ἀγαθοκλέα, οἱ δὲ Ἀπολλόδωρον λέγουσιν, ὃν καὶ προϊστάμενον κυκλίων χορῶν ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν τῷ Πινδάρῳ παιδὶ ὄντι, τὸν δὲ εὖ διακοσμήσαντα διαβόητον γενέσθαι. ἔρεισμα δὲ τῆς Ἑλλάδος εἰπὼν Ἀθήνας ἐζημιώθη ὑπὸ Θηβαίων χιλίας δραχμάς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ*

6. *παῖς δὲ ὢν* cod. — 9. cf. Dion. or. LXIV 23.

Ἀθηναῖοι. ἦν δὲ οὐ μόνον εὐφυὴς ποιητὴς ἀλλὰ καὶ ἄνθρωπος θεοφιλής. ὁ γοῦν Πὰν ὁ θεὸς ὤφθη μεταξὺ τοῦ Κιθαιρῶνος καὶ τοῦ Ἑλικῶνος ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ ᾆσμα ἐποίησεν εἰς τὸν θεόν, ἐν ᾧ χάριν ὁμολογεῖ τῆς τιμῆς αὐτῷ, οὗ ἡ ἀρχή· ὦ Πὰν Πὰν Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ. ἀλλὰ καὶ ἡ Δημήτηρ ὄναρ ἐπιστᾶσα αὐτῷ ἐμέμψατο, ὅτι μόνην τῶν θεῶν οὐχ ὕμνησεν· ὁ δὲ εἰς αὐτὴν ἐποίησε ποίημα, οὗ ἡ ἀρχή· Πότνια θεσμοφόρε χρυσάνιον. ἀλλὰ καὶ βωμὸν ἀμφοτέρων τῶν θεῶν πρὸ τῆς οἰκίας τῆς ἰδίας ἱδρύσατο. Παυσανίου δὲ τοῦ Λακεδαιμονίων βασιλέως ἐμπιπρῶντος τὰς Θήβας ἐπέγραψέ τις τῇ οἰκίᾳ ⟨Πινδάρου⟩· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε· καὶ οὕτως μόνη ἀπόρθητος ἔμεινεν· καὶ ἔστι τὸ νῦν ἐν Θήβαις πρυτανεῖον. ἀλλὰ καὶ ἐν Δελφοῖς ὁ προφήτης μέλλων κλείειν τὸν νεὼν κηρύσσει καθ' ἡμέραν. Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς αὐτός φησι· Πενταετηρὶς ἑορτὰ βουπομπὸς ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις. λέγεται δὲ θεωροῖς ἀπιοῦσιν εἰς Ἄμμωνος αἰτῆσαι Πίνδαρος τὸ ἐν ἀνθρώποις ἄριστον καὶ ἀποθανεῖν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου, ᾗ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων. καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς † Κάδμου βασιλείας. ἀλλὰ καὶ ἀμφότεροι παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ γεγένηνται. γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ

9. cf. Paus. IX 23, 3 — 13. Dion. or. II 33 — 17. cf. schol. P. III 137 — 28. cf. Aelian V. H. IV 15.

Καλλίνης ἔσχεν υἱὸν Δαΐφαντον, ᾧ καὶ δαφνηφορικὸν ᾆσμα ἔγραψεν, καὶ θυγατέρας δύο Πρωτομάχην καὶ Εὔμητιν. γέγραφε δὲ βιβλία ἑπτακαίδεκα· ὕμνους, παιᾶνας, διθυράμβων β', προσοδίων β', καὶ γ' ὃ ἐπιγράφεται κεχωρισμένων παρθενίων, ὑπορχημάτων β', ἐγκώμια, θρήνους, ἐπινίκων δ'. φέρεται δὲ ἐπίγραμμα ἐπὶ τῇ τελευτῇ αὐτοῦ τόδε·

Ἦ μάλα Πρωτομάχα τε καὶ Εὔμητις λιγύφωνοι
Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί,
Ἄργοθεν ἦμος ἵκοντο κομίζουσ' ἐνδόθι κρωσσοῦ
λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

## Πινδάρου ἀποφθέγματα.

Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε, διαβολή.

Παραγενόμενος δὲ εἰς Δελφοὺς καὶ ἐρωτώμενος, τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπε, παιᾶνα.

Ἐπερωτηθεὶς πάλιν, διὰ τί Σιμωνίδης πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐ θέλει, ὅτι βούλομαι, εἶπεν, ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

Ἐρωτηθεὶς δὲ διὰ τί τῷ εὖ πράττοντι τὴν θυγατέρα οὐ δίδωσιν, οὐ μόνον δεῖσθαι φησὶν εὖ πράττοντος, ἀλλὰ καὶ πράξοντος εὖ.

Ἐρωτηθεὶς πάλιν ὑπό τινος, διὰ τί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται, εἶπεν· καὶ γὰρ οἱ ναυπηγοὶ πηδάλια κατασκευάζοντες κυβερνᾶν οὐκ ἐπίστανται.

---

12. cf. Stob. flor. 11, 3. 80, 4. 94, 22. 111, 12. 126, 2 — 15. cf. Philod. de mus. p. 89, 10 ed. Kemke — 20. πράξαντος Eust. vit. Pind.

*Τοὺς φυσιολογοῦντας ἔφη ἀτελῆ σοφίας δρέπειν καρπόν.*

B.

## EX EUSTATHII VITA PINDARI EXCERPTA.

*Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδει Θήβης*
*Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ*
*γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,*
*οὐκ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,*
*εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.*
*τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ*
*εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ*
*χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.*
*τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων*
*ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων*
*τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,*
*ὅς ῥά ⟨τε⟩ οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.*
*εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ*
*Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,*
*Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.*
*ἀλλὰ τὸ μὲν μετόπισθεν· ἔτι ζώοντι δ' ἀοιδῷ*
*Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς*
*ἦια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.*
*καὶ μέλος, ὥς ἐνέπουσιν, ἐν οὔρεσιν ἠύκερως Πὰν*
*Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.*
*ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν*
*αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,*
*τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.*
*τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,*

---

9. cf. Didym. ap. Lactant. Inst. div. I 22 et Pind. fr. 158.

*ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,*
*Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων*
*τῶν πισύρων, μακάρων παιήονας, ἐν δέ τε θρήνους,*
*καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,*
*ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.*
*τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας*
*κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.*

## C.

## EX SUIDAE LEXICO EXCERPTA.

*Πίνδαρος Θηβῶν, Σκοπελίνου υἱός, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές· ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου· τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν· μαθητὴς δὲ Μυρτίδος γυναικός· γεγονὼς κατὰ τὴν ξέ ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων καὶ υἱὸς Δαΐφαντος, θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη. καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου Θεοξένου αὐτοῦ γόνατα, ἐτῶν νέ. ἔγραψε δὲ ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, ⟨Νεμεονίκας, Ἰσθμιονίκας,⟩ προσόδια, παρθένια, ἐνθρονισμούς, βακχικά, δαφνηφορικά, παιᾶνας, ὑπορχήματα, ὕμνους, διθυράμβους, σκόλια, ἐγκώμια, θρήνους, δράματα τραγικά [ιζ'], ἐπιγράμματα ἐπικά, καὶ καταλογάδην παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα.*

---

11. *Παγώνδα* vulgo — 13. cf. Diodor xi 26.

*ὅτι τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν τοὺς ἄλλους ἀνδραποδίσαι· καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ Πινδάρου, ὥς φησιν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ ἀναβάσει Ἀλεξάνδρου* [I 9].

---

1. cf. Plin. N. H. VII 29, 109.

# FASTI PINDARICI.

522 a. Chr., Ol. 64, 3 Pindarum natum esse Boeckhius II 2, 13 comprobavit ex eo, quod Persicis poeta quadragesimum annum aetatis egisse a Suida traditur; tertio autem anno Olympiadis se natum poeta ipse dicit fr. 193.

518 a. Chr., Ol. 65, 3 *κατὰ Ὀλυμπιάδα ξε'* natum Pindarum perhibet Suidas, quod cum alii tum Wilamowitzius, Arist. u. Athen II 302, comprobant. Ego errorem Suidae ex falsa computatione grammatici, qui Pythiade 17 poetam natum esse in scholiis ad fr. 193 adnotatum invenerit, profectum esse suspicor.

502 (498)[1]) a. Chr., Pyth. 22 Hippocli Thessalo diaulo victori misit P. X.

494 (490) a. Chr., Pyth. 24 Thrasybulo Agrigentino victoriam Xenocratis Delphis partam gratulatur P. VI.

494 (490) a. Chr., Pyth. 24 Midae Agrigentino tibiis victori misit P. XII.

---

1) anni uncinis inclusi sunt computationis Bergkianae Pythiadum.

486 a. Chr., Pyth. 25 vel 26 Megacli Atheniensi scripsit P. VII.

484 a. Chr., Ol. 74, 1, aut potius 476 a. Chr., Ol. 76, 1 Agesidamo Locro Epizephyrio pugili scripsit O. XI et paulo post O. X.

481 a. Chr., Ol. 74, 4, vel 483 a. Chr. Pytheae Aeginetae pancratio victori scripsisse videtur N. V.

480 a. Chr. Phylacidae Aeginetae vere Isthmiis pancratio victori scripsisse videtur I. VI.

480 a. Chr. mense Boedromione pugna Salaminia commissa est, paulo ante Carthaginienses ad Himeram a Gelone et Therone victi sunt.

479 a. Chr., Ol. 75, 2 mense Septembri post pugnam Plataeensem Lacedaemonii et Athenienses duce Pausania Thebas oppugnant.

480/79 a. Chr. Pindarus *ἀκμάσαι κατὰ τὴν Ξέρξου στρατείαν ἐτῶν μ´* a Suida, Thoma Magistro, Diodoro XI 26 dicitur.

478 a. Chr., Ol. 75, 2 Cleandro Aeginetae verno tempore Isthmiis victori misit I. VIII.

478 a. Chr., Ol. 75, 2 montis Aetnae eruptionem factam esse marmor Parium tradit, quam eandem eruptionem anno 475 a. Chr. (Ol. 76, 1) assignavit Thucydides III 116, minus, opinor, accurate.

478 (474) a. Chr., Pyth. 28 Thrasydaeo Thebano stadio victori scripsit P. XI.

478 (474) a. Chr., Pyth. 28 Telisicrati Cyrenaeo armato cursu victori scripsit P. IX.

478/7 a. Chr., Ol. 75, 3 Hiero Geloni successit.

*476 a. Chr.* vere Isthmia, aestate anni 475 Nemea Me-

lissus Thebanus vicisse eique Pindarus scripsisse videtur I. III. IV.

476 a. Chr., Ol. 76, 1 Asopicho Orchomenio stadio victori scripsit O. XIV.

476 a. Chr., Ol. 76, 1 Theronem Agrigentinum curru Olympia vicisse et Pindarum O. II et III scripsisse pars melior scholiastarum et plerique interpretes, alii 472 a. Chr, statuunt.

476/5 a. Chr. Locris Epizephyriis ab infestis armis Anaxilai tyranni ope Hieronis liberatis Pindarus scripsisse videtur P. II et aliquanto post O. X. XI.

475 a. Chr. Hieroni aegrotanti ad victorias a. 482 et 486 reportatas celebrandas misisse videtur P. III.

474 aut 476 a. Chr. verno tempore Phylacida Isthmia pancratio vicisse et Pindarus carmen I. V scripsisse videtur.

474 a. Chr., Ol. 76, 2 post Eionem captam et Persas devictos Pindarum dithyrambum in laudem Athenarum panxisse vulgo statuunt.

474 a. Chr. in confinio, ut videtur, aestatis et auctumni Hiero Tuscos apud Cumam devicit.

474 (470) a. Chr., Pyth. 29 Hiero Aetnaeus Delphis curru vicit, quam victoriam poeta aliquot mensibus post in Sicilia praedicat P. I.

474/3—471/70 a. Chr. Pindarus in aula Hieronis commoratus esse videtur.

474/3 a. Chr. Chromio Aetnaeo Sicyone curru victori scripsisse videtur N. IX.

473 a. Chr., Ol. 76, 4, aut 471 a. Chr., Ol. 77, 2 Chromio Nemeis curru victori scripsit N. I.

472 a. Chr., Ol. 77, 1 Hieroni Syracusano celete victori scripsit O. I.

472 a. Chr., Ol. 77, 1 Ergoteli Himeraeo dolicho victori scripsit O. XII.

472/1 a. Chr., Ol. 77, 1 Theroni mortuo Thrasydaeus filius rex successit, sed brevi post ab Hierone fusus est.

470/69 a. Chr. vel paulo post Pindarus Syracusis redux Thrasybulo Xenocratis filio misisse videtur I. II.

469 a. Chr. Aristoclidae Aeginetae Nemeis victori scripsisse videtur N. III.

468 a. Chr., Ol. 78, 1 Agesiae Syracusano mulari rheda victori misit O. VI.

468 a. Chr., Ol. 78, 1 Hiero Olympia curru vicit, quam victoriam Bacchylides epinicio illustravit.

467/6 a. Chr., Ol. 78, 2 Hiero mortem obiit.

467 a. Chr., Ol. 78, 2 Sogeni Aeginetae Nemeis quinquertio victori misit N. VII.

466 (462) a. Chr., Pyth. 31 Arcesilaus Cyrenaeus Pythia curru vicit, quam ad victoriam illustrandam misit P. IV, praesens agendum curavit P. V.

465 a. Chr., Ol. 78, 4, vel Ol. 78, 2 vel Ol. 79, 2 Timasarcho Aeginetae lucta victori scripsisse videtur N. IV.

464 a. Chr., Ol. 79, 1 Xenophontem Corinthium stadio et pentathlo victorem praesens celebrandum curavit O. XIII; paulo post scolium (fr. 122) composuit.

464 a. Chr., Ol. 79, 1 Diagorae Rhodio pugilatu victori misit O. VII.

465 vel 461 a. Chr. Theaeo Argivo Hecatombeis victori scripsisse videtur N. X.

463 vel 465 a. Chr., Ol. 79, 2 vel 78, 4 Alcimidae Aeginetae lucta victori scripsisse videtur N. VI.

463 a. Chr., Ol. 79, 2 solem defecisse Eusebius tradit, quem ad defectum solis hyporchema Pindari (fr. 75) spectat; contra ad solis defectionem anno 478 mense Februario factam Hofmannus, progr. gymn. Tergest. 1889 refert.

461 vel 459 a. Chr., Ol. 79, 4 vel 80, 2 Dinidi Aeginetae cursu victori scripsisse videtur N. VIII.

460 a. Chr., Ol. 80, 1 Alcimedonti Aeginetae lucta victori scripsit O. VIII.

458 a. Chr. Athenienses Aeginetas eorumque socios ad Cecryphalas vincunt et Aeginam oppugnare parant.

458 a. Chr., Ol. 80, 2 scriptum esse videtur I. I.

457 a. Chr., Ol. 80, 4 auctumno Lacedaemonii et Boeoti Athenienses eorumque socios ad Tanagram vincunt.

457 a. Chr. exeunte, vel 456 ineunte, Ol. 80, 4 sexagesimo secundo die post pugnam ad Tanagram Thebani ad Oenophyta ab Atheniensibus devicti sunt.

456 a. Chr., Ol. 81, 1 Epharmosto Locro Opuntio lucta victori scripsit O. IX.

454 vel 456 a. Chr. Strepsiadae Thebano scripsisse videtur I. VII.

452 a. Chr., Ol. 82, 1 Psaumidi Camarinensi rheda mulari victori scripta sunt epinicia O. IV et V.

450 (446) a. Chr., Pyth. 35, si codicibus fides tribuenda est, Aristomenum Aeginetam lucta victorem Pindarus praedicavit P. VIII.

442 (438) a. Chr., Ol. 84, 3 mortem Pindarus obiit, si optimo testi, biographo metrico, poetam octogenarium decessisse testanti fidem habemus. Eustathio et Thomae Magistro Pindarum *κατ' Ὀλυμπιάδα πϛ'* i. e. inter 436 et 432 a. Chr. mortuum esse tradentibus Tycho Mommsenius, Pindaros p. 28 suum calculum adiecit.

# INDEX

## NOMINUM PROPRIORUM PINDARI.


*Ἄβαρις* fr. 270.
*Ἄβας* Lyncei fil.; *Ἄβαντος ἀγυιαί* = *Ἄργος* oppidum P. VIII 55.
*Ἀγαθοκλῆς* chorodidascalos, magister Pindari vit. Pind. A.
*Ἀγάθων*, puer pulcher fr. 128.
*Ἀγαμεμνονία ψυχά* P. XI 20.
*Ἀγαμήδης*, aedificator templi Delphici fr. 2.
*Ἀγγελία*, *Ἑρμᾶ θυγάτηρ* O. VIII 82.
*Ἀγησίας*, Sostrati fil. Syracusanus O. VI 12. 77. 98.
*Ἀγησίδαμος* Archestrati fil. Locrus Zephyrius O. X. XI. O. X 18. 92. XI 12.
*Ἀγησίδαμος* pater Chromii Syracusani N. I 29. IX 42.
*Ἀγησίλαος* pater Theoxeni fr. 123, 11.
*Ἀγησίμαχος* pater Soclidae Aegineta N. VI 22.
*Ἀγλαΐα* Gratia O. XIV 12. fr. 199.
*Ἀγλαοτρίαινα* v. *Ποσειδάων*.
*Ἀγρεύς* v. *Ἀρισταῖος*.
*Ἄδματος* Pheretis fil. P. IV 126.
*Ἄδραστος* Talai fil. O. VI 13. P. VIII 48. N. VIII 52. IX 9. X 12. I. VII 10 — *Ἀδράστεια ἄεθλα* I. III 44, *Ἀδράστειος νόμος* N. X 28 — *Ἀδραστίδαι* O. II 49. N. IX 17 v. l.
*Ἀέλιος* deus O. VII 14. 58. P. IV 241. I. V 1. fr. 107; *ἁγνὸς θεός* O. VII 60; *γενέθλιος ἀκτίνων πατήρ* O. VII 70.
*Ἀθαμαντιάδας*, Melicertes fr. 6.
*Ἀθάνα* P. X 45. XII 8. N. X 84; *Ἀθαναία* O. VII 36. N. X 84; *Ἀθ. θρασεῖα* N. III 50, *ἱππεία* O. XIII 82, *ξανθά* N. X 7. fr. 34; Iovis capite exsiluit O. VII 35. fr. 34; *Ἑλλώτια* sacra eius O. XIII 40 — *Παλλάς* O. II 29. V 10. XIII 66. P. IX 98. XII 7 — *Γλαυκῶπις* O. VII 51. N. VII 96. X 7.
*Ἀθᾶναι* N. V 49. I. III 43; *λιπαραὶ Ἀθ.* fr. 76. O. IX 88. N. IV 19. I. II 20; *ἱεραὶ Ἀθ.* fr. 75, 4, *μεγάλαι* N. II 8, *μεγαλοπόλιες* P. VII 1, *εὐώνυμοι* N. IV 19, *κρανααί* O. VII 82. XIII 38. N. VIII 11 — *Ἀθαναῖος* P. I 76. N. X 34. fr. 77, *Ἀθαναῖαι κύλικες* fr. 124, 3 — Athenarum forum et vetus orchestra fr. 75, 4.
*Αἰακός* Iovis et Aeginae fil.

Aegineta O. VIII 30. 50. P. VIII 99. N. III 28. IV 71. V 53. VII 84. VIII 13. I. V 34. VIII 23. fr. 1 — *Αἰακίδαι* O. XIII 109. P. III 87. VIII 22. N. III 64. IV 11. V 8. VI 19. 46. VII 10. 45. I. V 20. VI 19. 35. VIII 42. 60. fr. 242 — Aeaci sacellum Aegineticum N. V 53.

*Αἴας* Telamonis fil. N. II 14. IV 48. VII 26. VIII 23. 27. I. III 53. V 48. VI 26. 52. fr. 184. 261 — *Αἴας* Oilei fil. O. IX 112; *Αἰάντειος* v. l. O. IX 112.

*Αἰγαί*, Achaiae oppidum Neptuni sacrum N. V 37.

*Αἰγεῖδαι* gens Thebana quae Lacedaemonem migraverat P. V 75. I. VII 15.

*Αἰγιμιός* rex Doriensium P. I 62. V 70. fr. 1, 3.

*Αἴγινα* insula O. VII 86. VIII 20. P. IX 90. N. III 3. V 3. 41. I. V 41. VI 8. VIII 55. fr. 1; *πόλις Αἰακιδᾶν* fr. 242 — Aegina nympha mater Aeaci O. IX 69. P. VIII 98. N. IV 22. VII 50. VIII 6. I. VIII 16 ss. — Aeginetarum origo Dorica O. VIII 30. P. VIII 20; cf. *Οἰνώνα* et *Οἰνοπία*.

*Αἰγίοχος* v. *Ζεύς*.

*Αἴγισθος* Thyesti fil. P. XI 37.

*Αἴγυπτος* N. X 5. fr. 82 — *Αἰγύπτιος* fr. 201.

*Ἀΐδας* deus Orci O. VIII 72. IX 33. X 92. P. III 11. IV 43. V 96. N. VII 30. X 67. I. I 68. VI 15; *Ἀΐδ. χρυσάνιος* fr. 37 — *ἄγαλμα Ἀΐδα·* monumentum sepulcrale N. X 67.

*Αἰήτας* pater Medeae P. IV 10. 160. 211. 224. 238; filius Solis P. IV 241.

*Αἰθίοψ* O. II 90. P. VI 31. N. III 61. VI 49. I. V 40.

*Αἵμονες* Thessali, qui cum ex Epiro immigrassent, Iolco potiti sunt N. IV 56.

*Αἰνέας* Arcas chorodidascalos Pindari O. VI 88.

*Αἰνησίδαμος* pater Theronis et Xenocratis O. II 51. III 9. I. II 28.

*Αἰολεύς* Aeolensis N. XI 34. fr. 191 — *Αἰοληΐδι μολπᾷ* O. I 105; *Αἰολίδεσσι χορδαῖς* P. II 69; *Αἰολῇσιν πνοαῖσιν αὐλῶν* N. III 79.

*Αἴολος* Hellenis fil. *λαγέτας* P. IV 107.

*Αἴπυτος* Elati fil. rex Phaesanae O. VI 36.

*Αἴσων* Crethei fil P. IV 118 — *Αἰσονίδας* Iason P. IV 217 — *Αἰσωνὶς πόλις* fr. 273.

*Αἴτνα* mons Siciliae O. IV 7. XIII 111. P. I 20. 27. fr. 92 — Aetna urbs P. I 60. N. IX 2. fr. 105 — *Αἰτναῖος Ζεύς* O. VI 96. N. I 6, *Αἰτναῖοι* P. III 69. N. IX 30.

*Αἰτωλός* O. III 12. I. V 30 — *Αἰτωλία* fr. 249.

*Ἄκαστος* Peliae fil. N. IV 57.

*Ἀκιδαλία* fons fr. 244.

*Ἀκράγας* flumen P. XII 2. O. II 9; urbs ad Acragantem sita O. II 6. 100. III 2. P. VI 6. fr. 119, 2 — *Ἀκραγαντῖνος* I. II 17.

*Ἄκρων* pater Psaumidis Siculus O. V 8.

*Ἄκτωρ* pater Menoetii O. IX 69.

*Ἀλάθεια Διὸς θυγάτηρ* O. X 4. fr. 205.

*Ἀλαλά* dea belli filia fr. 78.

*Ἀλάτας* Heraclida rex Corinthi O. XIII 14.

*Ἆλις* Elis O. I 80. IX 7. X 33 — *Ἀλεῖος* I. II 23. fr. 250.

*Ἄλεκτραι πύλαι* Thebarum I. III 79.

Ἀλέξανδρος rex Macedoniae fr. 120. 121.

Ἀλεξιβιάδας Carrhotus Alexibiae filius P. v 45.

Ἀλεξίδαμος Libys P. ix 121.

Ἀλέρα mater Tityi fr. 294.

Ἀλεύας Thessalorum princeps P. x 4. fr. 255.

Ἁλιρόθιος Mantinensis O. x 69.

Ἀλκαθόου ἀγών Megarensis I. viii 67; cf. N. v 46.

Ἀλκαΐδαι O. vi 68.

Ἀλκιμέδων Aegineta Olympionica O. viii 17. 65.

Ἀλκιμίδας Aegineta Nemeonica N. vi 8. 60.

Ἀλκμάν Amphiarai fil. vates P. viii 46. 57.

Ἀλκμανίδαι Alcmaeonidae sive Athenienses P. vii 2.

Ἀλκμήνα mater Herculis O. vii 27. P. iv 172. ix 84. N. i 49. x 11. I. i 12. iii 73. vi 30. fr. 172.

Ἀλκυονεύς Gigas ab Hercule devictus N. iv 25. I. vi 31.

Ἄλτις lucus Olympiae C. iii 18 (coni.). x 45.

Ἀλφειός fluvius Elidis O. i 20. 92. ii 13. iii 21. v 18. vi 34. 58. vii 15. viii 9. ix 18. x 48. xiii 35. N. i 1. vi 18. I. i 65. fr. 250.

Ἀμαζών O. viii 47. N. iii 38. fr. 172. 174. 175 — Ἀμαζονίς O. xiii 87.

Ἀμάλθεια Oceani filia fr. 249.

Ἀμένας fluvius Catinam permeans P. i 67.

Ἄμμων Ζεύς P. iv 16. fr. 36.

Ἀμυθάν Crethei fil. P. iv 126 — Ἀμυθαονίδαι fr. 179.

Ἀμύκλαι urbs Achaeorum Lacedaemonia P. i 65. xi 32. N. xi 34. I. vii 14.

Ἀμύντας pater Alexandri regis Macedonum fr. 120.

Ἀμυντορίδαι, posteri Amyntoris patris Astydamiae, quae ab Hercule Tlepolemum, conditorem Rhodi, genuit O. vii 23.

Ἀμφιάρηος Oiclei fil. O. vi 13. P. viii 40. 56. N. ix 13. 24. I. vii 33; Ὀικλέος παῖς P. viii 39; conf. fr. 43. 202.

Ἀμφικτίονες Delphici P. iv 66. x 8. cf. N. vi 39.

Ἀμφιτρίτα χρυσαλάκατος uxor Neptuni O. vi 105.

Ἀμφιτρύων pater Herculis P. ix 81. N. i 52. iv 20. x 13. I. i 55. vii 6 — Ἀμφιτρυωνιάδας Hercules O. iii 14. I. vi 38.

Ἀναξίλαος significatur P. ii 18.

Ἀνταῖος Libys P. ix 106. I. iii 70.

Ἀντανορίδαι Antenoris filii Troes P. v 83.

Ἀντίας Argivus N. x 40.

Ἀντίλοχος Nestoris fil. P. vi 28.

Ἀντιόπη Amazon fr. 175. 176.

Ἄξεινος πόντος P. iv 203.

Ἄπειρος Epirus N. iv 51; cf. P. iv 48. ix 8.

Ἀπέσας mons Nemeaeus fr. 295.

Ἀπολλόδωρος chorodidascalos, magister Pindari vit. Pind. A.

Ἀπόλλων O. iii 16. vi 35. viii 41. xiv 10. P. i 1. ii 15. iii 11. 40. iv 5. 66. 87. 176. 294. v 60. 79. vii 9. viii 18. ix 28. 63. x 10. 35. N. v 24. 44. ix 1. I. ii 18 fr. 55. 63. 147. 148. 286 — Ἀπόλλων ἁγνός P. ix 64, ἀκειρεκόμας P. iii 14. I. i 7, ἀρχαγέτας P. v 60, εὐρυφαρέτρας P. ix 26, εὐρυφάρετρος fr. 148, εὐρυσθενής I. ii 18; ἑκάεργος P. ix 28, χρυσότοξος O. xiv 10, χρυσοχαῖτα P. ii 15, χρυσάωρ P. v 104, χαιτάεις P. ix 5 —

Δάλιος P. IX 10, Δάλον σκοπός O. VI 59; Καρνήιος Ἀπόλλων P. V 79; Λύκιος P. I 39; Πύθιος O. XIV 10. N. III 70 (v. Πυθώ); παῖς Λατοῦς O. VIII 31. N. IX 4, παῖς Διός P. III 12 — Delphinii Apollinis ludi Aeginetici P. VIII 66 — Λοξίας P. III 28. XI 5. I. VII 49, Παιάν P. IV 270; Φοῖβος O. VI 49. IX 33. P. I 39. IV 54. V 104. IX 40. N. IX 9; Χρυσοκόμας O. VI 41. VII 22. I. VII 49; Μοισαγέτας fr. 116; Ἑκαταβόλος fr. 2; cf. Λατοΐδας — Ἀπολλώνιος P. V 23. 90. VI 9 — Ἀπολλωνίδας fr. 192 — Ἀπολλωνιάς insula Delus I. I 6; cf. Δάλιος ξένος P. IX 10 — Apollini asini mactantur P. X 33.

Ἄργος urbs et regio O. VII 83. IX 68. 88. XI 68. XIII 107. P. VIII 41. IX 112. N. IX 14. X 1. 40. I. V 33; Ἄργος ἵππιον I. VII 11; ἱπποτρόφον ἄστυ N. X 41 — Ἀργεῖος O. VII 19. P. IV 49. N. X 19. I II 9; Ἀργεῖος τρόπος brevis sermonis I. VI 58; ἀπ' Ἄργεος ὅπλα (inprimis clypei) fr. 106, 5.

Ἀργώ O. XIII 54. P. IV 25. 184.

Ἀρέας v. l. pro Ῥέας N. IX 41.

Ἀρέθουσα fons Syracusanus P. III 69. N. I 1.

Ἄρης O. IX 76. X 15. XIII 23. P. I 10. II 2. X 14. XI 36. N. X 84. I. III 33. V 48. VII 25. VIII 37; metonymice O. IX 76. XIII 23. P. V 85. I. V 48 — Ἄρης βαθυπόλεμος P. II 1, βιατάς P. I 10, κελαινεγχής N. X 84, οὔλιος O. IX 76, χάλκεος O. X 15. I. III 33, χαλκάρματος P. IV 88 — πόσις Ἀφροδίτας P. IV 88 — ἀρήιον γένος O. II 46, ἀρηίφιλοι παῖδες I. VIII 25. Conf. Ἐνυάλιος.

Ἄριμοι fr. 93.

Ἀρισταγόρας Arcesilai fil. Tenedius N. XI 3. 19.

Ἀρισταῖος Apollinis et Cyrenes fil., qui idem Ἀγρεύς et Νόμιος audit P. IX 65. fr. 251.

Ἀριστέας fr. 271.

Ἀριστόδημος Ἀργεῖος significatur I. II 9.

Ἀριστοκλείδας Aristophanis fil. Aegineta Nemeonica N. III 15. 67.

Ἀριστομένης Xenarcis fil. Aegineta Pythionica P. VIII. VIII 5. 80.

Ἀριστοτέλης Battus rex Cyrenarum P. V 87.

Ἀριστοφάνης pater Aristoclidae N. III 20.

Ἀρκαδία O. III 27. VI 80. 100. VII 83. P. III 26. fr. 95; Ἀρκ. εὔμηλος O. VI 100 — Ἀρκάς O. VI 34. IX 68. XIII 107.

Ἀρκεσίλας Batti fil. rex Cyrenarum P. IV. V. IV 1. 65. 250. 298. V 5. 102 — pater Aristagorae Tenedius N. XI 11.

Ἁρμονία uxor Cadmi P. III 91. XI 7. fr. 29, 6 — Ἁρμ. βοῶπις P. III 91 — Harmoniae et Cadmi nuptiae a Musis celebratae P. III 90.

Ἀρσινόα nutrix Orestis P. XI 17.

Ἄρτεμις P. II 7. IV 90. N. I 1. III 50. fr. 250; Ἀφαία fr. 89; Ὀρθωσία O. III 30; ἰοχέαιρα παρθένος P. II 9; κασιγνήτα Ἀπόλλωνος P III 32; ἱπποσόα O. III 26, ἐλάτειρα ἵππων fr. 89, 2 — Dianae templum Ephesiacum ab Amazonibus conditum fr. 174.

Ἀρχέστρατος pater Agesidami Locrus O. X 2. 99. XI 11.

*Ἀρχίλοχος* poeta O. IX 1. P. II 55.
*Ἀσία* O. VII 18.
*Ἀσκλαπιός* P. III 6. N. III 54. fr. 266; Aesculapii ludi Epidaurici N. V 53.
*Ἀστυδάμεια* mater Tlepolemi O. VII 23.
*Ἀσωπός* fluvius Sicyonius N. IX 9; fluvius Aeginae N. III 4; fluvius Boeotiae I. VIII 17 — *Ἀσώπιος* N. III 4 — *Ἀσωπίδες* I. VIII 17.
*Ἀσώπιχος* Orchomenius Olympionica O. XIV. XIV 15.
*Ἀσωπόδωρος* pater Herodoti Thebanus I. I 34.
*Ἀταβύριον* mons Rhodi O. VII 87.
*Ἄτλας* Titan P. IV 289.
*Ἀτρέκεια* dea O. X 13.
*Ἀτρεύς* O. XIII 58 — *Ἀτρείδας* O. IX 70. P. XI 31. I. V 38. VIII 51.
*Αὐγέας* rex Epeorum O. X 28. 41.
*Ἀφαία* Diana fr. 89.
*Ἅφαιστος* O. VII 35. fr. 253. 283; metonymice P. I 25. III 40.
*Ἀφαρητίδαι* Lynceus et Idas N. X 65.
*Ἀφέσας ἥρως* fr. 295.
*Ἀφροδίτα* O. VII 14. P. II 17. IV 88. V 24. VI 1. IX 9. N. VIII 1. I. II 4. fr. 90, 3. 122, 5. 128, 5; metonymice O. VI 35 — *Ἀφροδίσια ἄνθεα* N. VII 53. fr. 128 — *Ἀφρ. ἀργυρόπεζα* P. IX 9, *ἑλικοβλέφαρος* fr. 123, 5; *ἑλικῶπις* P. VI 1, *εὔθρονος* I. II 5, *οὐρανία μάτηρ Ἐρώτων* fr. 122; *πότνια βελέων* P. IV 213, *ἰοβλέφαρος* fr. 307. Conf. *Κυπρία*, *Κυπρογένεια*.
*Ἀχαιοί* Peloponnesi I. I 31. N. X 47, Thessaliae I. I 58, Epiri N. VII 64, Graeciae omnis fr. 259.
*Ἀχάρναι* vicus Atticus N. II 16.
*Ἀχελῷος* fluvius fr. 249.
*Ἀχέρων* fluvius Orci P. XI 21. N. IV 85. fr. 143.
*Ἀχιλλεύς* (*Ἀχιλεύς*) O. II 87. IX 71. X 19. P. VIII 100. N. III 43. IV 49. VI 51. VII 27. VIII 30. I. VIII 36. 48. 55; cf. I. VII 43.
*Ἀχώ* O. XIV 19; cf. *Ἀγγελία*.
*Ἀώς* Aurora mater Memnonis O. II 91. N. VI 52. fr. 21 — *Ἀωσφόρος* I. III 42.

*Βασσίδαι* gens Aeginetica N. VI 31.
*Βάττος* conditor Cyrenarum P. IV 6. 280. V 124 — *Βαττίδαι* P. V 28.
*Βελλεροφόντας* Glauci fil. O. XIII 84. I. VII 46.
*Βλεψιάδαι* gens Aeginetica O. VIII 75.
*Βοιβιάς* palus Thessalica P. III 34.
*Βοιωτία ὗς* O. VI 90. fr. 83; ludi Boeotorum O. VII 85.
*Βορέας* Aquilo O. III 55. P. IV 182; *βασιλεὺς ἀνέμων* P. IV 181; conf. *Ὑπερβόρεοι*.

*Γᾶ* (*Γαῖα*) dea O. II 84. VII 38. P. IX 17. 60. 102. fr. 253; *Γᾶς βαθυκόλπου ἄεθλα* P. IX 102.
*Γάδειρα* N. IV 69; *πύλαι Γαδειρίδες* fr. 256.
*Γαιάοχος* v. *Ποσειδάων*.
*Γανυμήδης* O. I 45. X 104. fr. 282, Ganymedem Laomedontis, non Trois filium Pindarus habuit O. I 45.
*Γηρυόνας* gigas I. I 13. fr. 81. 169, 5.
*Γίγαντες* P. VIII 17. N. I 67. VII 90; cf. *Ἀλκυονεύς* et *Πορφυρίων*.
*Γλαῦκος* Lycius O. XIII 60.
Γλαυκῶπις v. Ἀθάνα.

*Γοργών* O. XIII 63. P. X 46. N. X 4; *Γοργόνες* P. XII 7; cf. *Μέδοισα*.

*Δαίδαλος* v. l. N. IV 59.
*Δαΐφαντος* Pindari fil. vit. Pind.
*Δᾶλος* O. VI 59. P. I 39. N. I 4. fr. 87. 88; *Ἀστερία* a dis appellata fr. 87, 4 — *Δάλιος* Apollo P. IX 10.
*Δαμάγητος* Rhodius O. VII 17.
*Δαμαῖος πατήρ* Neptunus O. XIII 69.
*Δαμάτηρ* O. VI 95. I. I 57. VII 4; *Δαμ. φοινικόπεζα* O. VI 95, *χαλκόκροτος* I. VII 4.
*Δαμοδίκα* noverca Phrixi fr. 49.
*Δαμόφιλος* Cyrenaeus P. IV 281.
*Δανάα* mater Persei P. X 45. XII 17. N. X 11. fr. 284.
*Δαναός* P. IX 112. N. X 1.
*Δαναοί* O. IX 72. XIII 60. P. I 54. III 103. IV 48. VIII 52. N. VII 36. VIII 28. IX 17. fr. 183.
*Δάρδανος* O. XIII 58 — *Δάρδανοι* N. III 61 — *Δαρδανίδαι* fr. 120 — *Δαρδανίς* P. XI 19.
*Δεῖνις* Megae fil. Aegineta Nemeonica N. VIII 16.
*Δεινομένης* pater Hieronis P. I 79 — filius Hieronis P. I 58 — *Δεινομένειος* Hiero P. II 18.
*Δελφοί* P. XIII 43. IX 75. N. VII 43. fr. 192 — *Δελφίς* P. IV 60 — Delphicum templum Apollinis P. VII 10. fr. 53.
*Δευκαλίων* O. IX 43.
*Δηιάνειρα* Oenei fil. fr. 249.
*Δημοδίκη* Phrixi noverca fr. 49.
*Δημοφῶν* Thesei fil. fr. 176.
*Δηραῖοι* Abderae fr. 63.
*Διαγόρας* Rhodius Olympionica O. VII. VII 13. 80.
*Δίκα* dea O. VII 17. XIII 7. P. VIII 1. 71.
*Διόδοτος* Thebanus I. VII 31.
*Διομήδης* Tydei fil. N. X 7. fr. 262. 317.
*Διόνυσος* (*Διώνυσος*) O. XIII 18. I. VII 5. fr. 29, 5. 78. 124. 139, 3. 153. 247. 267; *Διόν. εὐρυχαίτας* et *πάρεδρος Δαμάτερος* I. VII 4, *ζαμενής* fr. 156, *κισσοφόρος* O. II 30 — *χοροιτύπος* fr. 156 — *Βρόμιος Ἐριβόας τε* fr. 75, 12.
*Διόσκουροι* fr. 258; cf. *Τυνδαρίδαι*, *Κάστωρ*, *Πολυδεύκης*, *Θεοξένια*.
*Δίρκα* fons Thebanus O. X 85. I. I 29. VI 74. VIII 20 — *Διρκαῖα ὕδατα* P. IX 88.
*Δόλοπες*, quorum dux Phoenix fr. 183.
*Δόρυκλος* Tirynthius, socius Herculis O. X 67.
*Δωδώνα* N. IV 53 — *Θεσπρωτίδα Δωδώνην* fr. 60 — *Δωδωναῖος* Iupiter fr. 57.
*Δωριεύς* O. VIII 30. P. I 65. VIII 20. fr. 1, 4 — *Δωρὶς νᾶσος Αἴγινα* N. III 3, *Δωρὶς ἀποικία Λακεδαίμων* I. VII 12. *Δώριος* O. I 18. III 5. N. V 37. I. II 15. VIII 64. fr. 67. 191; *Δωρία φόρμιγξ* O. I 17; *Δώριον πέδιλον* O. III 5; *Δωριεὺς κῶμος* P. VIII 20.

*Εἰλατίδας* Aepytus O. VI 33; Ischys P. III 31.
*Εἰρήνα* dea O. XIII 7.
*Ἕκτωρ* Priami fil. O. II 89. N. II 14. IX 39. I. V 39. VII 32. VIII 55.
*Ἐλείθυια* O. VI 42. P. III 9. N. VII 1; *παῖς Ἥρας* N. VII 1; *Ἐλ. πραΰμητις* O. VI 42, *ματροπόλος* P. III 9.

*Ἐλελίχθων* v. *Ποσειδάων*.
*Ἑλένα* O. III 1. XIII 59. P. V 83. XI 33. I. VIII 52.
*Ἕλενος* Priami fil. N. III 63.
*Ἐλευσίς* O. IX 99. XIII 110. I. I 57.
*Ἑλικωνιάδες* Musae I. II 34; *Ἑλικώνιαι* I. VIII 57.
*Ἕλλας κόρθμος* fr. 51; *Ἕλλας πόρος* fr. 189.
*Ἕλλαν στρατός* N. X 25; *Ἕλλανες* O. I 120. VI 71. P. I 49. I. III 54 — *Ἑλλάνιος πατήρ* Iupiter N. V 10 — *Ἑλλανὶς στρατιά* P. XI 50 — *Ἑλλανοδίκας* O. III 12; cf. *Πανέλλανες*.
*Ἑλλάς* O. XIII 113. P. I 75. II 60. IV 218. VII 8. X 19. XII 6. N. VI 26. I. VIII 11. fr. 76, 2.
*Ἑλλώτια* sc. *ἱερά* O. XIII 40.
*Ἕλωρος* fluvius Siciliae N. IX 40.
*Ἐμμενίδαι* gens Agrigentina O. III 38. P. VI 4.
*Ἐνδαΐς* Chironis (alii rectius Scironis) filia, uxor Aeaci N. V 12.
*Ἐνικεύς* (v. l. *Νικεύς*) O. X 72.
*Ἐννοσίδας* v. *Ποσειδάων*.
*Ἐνυάλιος* Mars O. XIII 106. N. IX 37. I. VI 54.
*Ἔπαφος* Libys P. IV 14. N. X 5.
*Ἐπειοί* O. IX 58. X 35.
*Ἐπίγονοι* septem ducum adv. Thebas posteri P. VIII 42.
*Ἐπίδαυρος* N. III 84. V 52. I. VIII 68.
*Ἐπιζεφύριοι Λοκροί* O. XI 15; cf. *Ζεφύριοι*.
*Ἐπιμαθεύς* P. V 27.
*Ἐρατίδαι* gens Rhodia O. VII 93.
*Ἐργοτέλης* Philanoris fil. Olympionica O. XII. XII 18.
*Ἐρεχθεύς* Atheniensis P. VII 10 — *Ἐρεχθεΐδαι* I. II 19.
*Ἐριβόας* v. *Διόνυσος*.
*Ἐρίβοια* uxor Telamonis I. VI 45.
*Ἐριννύς* O. II 45.
*Ἐρίτιμος* Corinthius O. XIII 42; frater Pindari vit. Pind. B, idem Erotion dicitur a Suida vit. Pind. C.
*Ἐριφύλα* uxor Amphiarai N. IX 16.
*Ἐριχθόνιος* terra genitus fr. 258.
*Ἑρμᾶς* O. VI 79. 88 (coni.). VIII 81. P. II 10. IV 178. IX 59. N. X 53. I. I 60 — *Ἑρμ. ἐναγώνιος* P. II 10. I. I 60; cf. VI 79, *κλυτός* P. IX 59, *χρυσόρραπις* P. IV 178, *Παρθένιος* O. VI 88 (coni.), *θεῶν κᾶρυξ* O. VI 78.
*Ἐρυθρὸς πόντος*, oppositus ut videtur *μέλανι πόντῳ* P. IV 251.
*Ἔρυτος* Mercurii fil. P. IV 179.
*Ἔρωτες ποιμένες Κυπρίας δώρων* N. VIII 6; *μᾶτερ ἐρώτων Ἀφροδίτα* fr. 122, 4.
*Ἑστία* dea N. XI 1, sceptrum manu tenens N. XI 4.
*Εὐάδνα* Neptuni fil O. VI 30. 49.
*Εὔβοια* O. XIII 112. I. I 57.
*Εὐθυμένης* Aegineta N. V 41. I. VI 57.
*Εὐθυμία* dea fr. 155.
*Εὔμητις* Pindari filia vit. Pind. A.
*Εὐνομία* dea O. IX 16. XIII 6.
*Εὔξεινον πέλαγος* N. IV 49. P. IV 203 (v. l. *Ἄξεινον*).
*Εὐξενίδας* Sogenes Aegineta N. VII 70.
*Εὔριπος* P. XI 22.
*Εὐρυάλα* una ex Gorgonibus P. XII 20.
*Εὐρυνόμα* fr. 28[b], 9.
*Εὐρύπυλος* Neptuni fil. P. IV 33.
*Εὐρυσθεύς* rex Argivorum O. III 28. P. IX 80. fr. 169, 6.
*Εὐρυτίων* Iri fil. Argonauta fr. 48.
Εὔρυτος Molionides O. X 28. 22

*Εὐρώπα* Tityi fil. P. IV 46; terra N. IV 70.
*Εὐρώτας* fluvius O. VI 28. I. I 29. V 33.
*Εὐτρίαινα* v. *Ποσειδάων*.
*Εὔφαμος* Neptuni fil. Argonauta P. IV 22. 44. 175. 256.
*Εὐφάνης* avus Timasarchi Aegineta N. IV 89.
*Εὐφροσύνα* dea O. XIV 12.
*Ἐφάρμοστος* Locrus Olympionica O. IX. IX 4 87.
*Ἐφιάλτας* Neptuni et Iphimediae fil. P. IV 89.
*Ἐφύρα* urbs Thesprotiae N. VII 37 — *Ἐφυραῖοι* P. X 55.
*Ἔχεμος* Tegeata O. X 66.
*Ἐχίων* Mercurii fil. P. IV 179.

*Ζεύς*, gen. *Ζηνός Διός Διόθεν* O. I 43. 46. 77. II 87. 97. III 17. VI 5. 70. VII 23. 55. VIII 44. 83. IX 52. X 4. 44. 96. XII 1. XIII 92. 106. P. II 27. 34. 40. III 12. 95. IV 107. 122. 167. 171. V 122. VIII 99. IX 64. 84. N. I 35. 72. II 3. III 65. IV 9. 61. V 7. 25. 29. 35. 52. VI 14. 42. VII 50. 80. 105. VIII 6. X 11. 48. 56. 65. 79. XI 43. I. III 4. V 14. 29. VI 3. VII 47. VIII 18. 35. fr. 30, 5. 75, 9. 90. 107. 243. 290 — *Ζεὺς πατήρ* O. II 30. VII 87. XIII 26. P. III 98. IV 23. 194. N. VIII 35. IX 31. 53. X 29. I. VI 42. fr. 93, 2 — *Ζεὺς πατήρ* O. VII 87. XIII 26. P. III 98. IV 23. N. VIII 35. IX 31. 53. X 29. 76. I. VI 42. cf. N. V 10 — *Αἰγίοχος* I. III 76 — *Ζεὺς Κρονίδας* O. II 13. VIII 44. P. IV 171. N. I 72. IV 9. I. II 24, *Κρόνιος παῖς* O. II 13. N. XI 2 — *Ζεὺς Κρονίων* P. I 71. III 57. IV 23. N. I 16. IX 19. 28. X 76; *Κρόνου παῖς* O. I 10. IV 6. VII 67. I. I 52 — *Ζεὺς Ἄμμων* P. IV 16, cf. *Ζεὺς Νεῖλος* P. IV 56; *Ζεὺς Ὀλύμπιος* O. XIV 11. I. II 27. N. I 14. fr. 90; cf. O. XIII 34, *Αἰτναῖος* O. VI 96. N. I 6, *Ἀταβυρίου μεδέων* O. VII 87, *Δωδωναῖος* fr. 57, *Λυκαῖος* O. IX 96. N. X 48, *Ἑλλάνιος* N. V 10, *Νεμέαιος* N. II 5 — *Ζεὺς αἰολοβρόντας* O. IX 42, *ἀργικέραυνος* O. VIII 3. P. IV 194, *ἀριστοτέχνας* fr. 57, *ἄφθιτος* P. IV 291, *βαρύγδουπος* O. VIII 44, *βαρύγδουπος πατήρ* O. VI 81, *βαρυσφάραγος* I. VIII 23, *βασιλεὺς ἀθανάτων* N. V 35. X 16. I. VIII 18, *γενέθλιος* O. VIII 16. P. IV 167, *δεσπότας Ὀλύμπου* N. I 14; cf. O. II 13, *ἐλασίβροντε παῖ Ῥέας* fr. 144, *ἐλατὴρ ὑπέρτατε βροντᾶς* O. IV 1, *ἐγχεικέραυνος* O. XIII 77. P. IV 194, *εὐρὺ ἀνάσσων* O. XIII 24, *εὐρύζυγος* fr. 14, *εὐρύτιμος* O. I 43, *καρτεροβρόντας* fr. 155. P. VI 23, *ξένιος* O. VIII 21. N. XI 8; cf. *ξείνιος πατήρ* N. V 33, *ὀρσίκτυπος* O. X 81, *ὀρσινεφής* N. V 35, *σωτήρ* O. V 17. I. VI 8. fr. 30, 5, *τέλειος* O. XIII 21. P. I 67, *ὕπατος* O. XIII 24, *ὑπέρτατος* O. IV 1, *ὕψιστος* N. I 60. XI 2 (cf. Paus. IX 8, 5), *ὑψινεφής* O. V 17, *φέρτατος* N. X 13. I. VII 5, *φοινικοστερόπας* O. IX 6 — *Διὸς ἀρχά* O. II 64, *θέμιτες* O. X 24, *Κόρινθος* N. VII 105, *ὁδός* O. II 77, *ὄμβρος* I. V 49, *προοίμιον* N. II 3. — Conf. *Κρονίων*, *Κρονίδας*.
*Ζέφυρος* N. VII 29, fr. 51 —

Ζεφύριοι Λοκροί O. x 13. P. II 18; conf. fr. 200.
Ζήτας Boreae fil. P. IV 182.

Ἥβα N. I 71. VII 4. X 18. I. III 77 — Ἥβα χρυσοστέφανος O. VI 58. P. IX 109, καλλίστα θεῶν N. X 18.
Ἥρα P. II 27. IV 184. VIII 79. N. I 38. VII 2. 95. X 2. 23. 36. XI 2. I. III 78. fr. 283; Κρόνου θυγάτηρ P. II 39; Διὸς ἄκοιτις P. II 34 — Ἥραν (fort. Ἑρμᾶν) Παρθενίαν O. VI 88; τελεία μάτηρ N. X 18 — Ἥρας ἀλκυόνες fr. 62.
Ἡρακλέης O. II 3. III 11. 44. VI 68. VII 22. IX 30. X 16. P. IX 87. XI 3. N. I 33. III 21. IV 24. VII 86. X 17. 33. XI 27. I. V 37. VI 35. fr. 29, 4. 51. 169, 5. 249. 291; υἱὸς Ἀλκμήνας I. III 73. VI 30; Διὸς παῖς O. X 44. N. I 35; Ἀμφιτρυωνιάδας O. III 14. VI 38; pater Tlepolemi O. VII 22; institutor ludorum Olympicorum O. II 3. III 11. VI 68. X 25. 53. N. X 33. XI 27; Herculis columnae O. III 44. N. III 21. I. III 30. VII 7. fr. 256 — Ἡρακλεῖδαι P. I 63. V 71. X 3.
Ἡρόδοτος Asopodori fil. Thebanus, Isthmionica I. I 14. 61.
Ἡσίοδος poeta I. VI 67. fr. 328.
Ἡσυχία dea Iustitiae filia P. VIII 1; cf. O. IV 17. fr. 109.

Θαλία dea Gratia O. XIV 13.
Θεαῖος (Θειαῖος) Uliae fil. Argivus, Hecatombeonica N. X 24. 37.
Θεανδρίδαι gens Aeginetica N. IV 73.
Θεάριον Πυθίου, curia Aeginetica N. *III* 70.
Θεαρίων Aegineta, pater Sogenis N. VII 7. 58.
Θεία dea I. V 1.
Θέμις (gen. Θέμιτος O. XIII 8) dea πάρεδρος Διός O. VIII 22. IX 15. XIII 8; ποντία θεός I. VIII 34; Νηρέος θυγάτηρ I. VIII 43; uxor Iovis fr. 30, 1; dea vaticinans P. XI 9. I. VIII 32; θέμιτες Διός O. X 24.
Θεμίστιος Aegineta N. V 50. I. VI 65.
Θεόγνητος Aegineta Olympionica P. VIII 36.
Θεόξενος Agesilai fil. Tenedius, puer amatus Pindari fr. 123, 2.
Θεοξένια Dioscurorum O. III 1.
Θεράπνα, urbs Laconica Dioscurorum P. XI 63. N. X 56. I. I 31.
Θέρσανδρος Polynicis fil. O. II 47.
Θεσπρωτίδα Δωδώνην fr. 60.
Θεσσαλία P. X 2 — Θεσσαλοί P. X 70.
Θεσσαλός, Ptoeodori fil. Corinthius O. XIII 35.
Θέτις Nereis, uxor Pelei, mater Achillis O. IX 76. P. III 92. 101. N. III 35. IV 50. V 25. I. VIII 27. 47 — Thetidis et Pelei nuptiae P. III 94. N. IV 65 88. V 22 88. — Θετίδειον N. IV 50.
Θήβα nympha, Asopi fluvii et Metopae fil. O. VI 85. I. I 1. III 12. VII 1. fr. 29, 5. 290; Θήβα πλάξιππος O. VI 85 — urbs Thebana P. IV 299. I. III 12. fr. 194, 4. 195.
Θῆβαι urbs O. VI 16. VII 84. IX 68. XIII 107. N. X 8. I. I 17. III 25. V 32. fr. 107, 8. 197 — Θῆβαι ἑπτάπυλοι P. III 80. VIII 40. IX 80. XI 11. N. IV 19. IX 18. I. I 67, Καδμεῖαι I.

III 71, λεύκιπποι P. IX 83, λιπαραί P. II 3. fr. 196 — Θηβαγενεῖς fr. 67 — Θηβαῖον ἅρμα fr. 106, 5 — Thebani dithyrambum invenisse dicuntur fr. 71.

Θηραῖος ad Theram insulam (j. Santorin) pertinens P. IV 10; cf. P. IV 258.

Θήρων Aenesidami fil., princeps Agrigentinorum, Olympionica O. II. III. II 5. 105. III 3. 39. 43. fr. 118. 119.

Θησεύς fr. 174. 175. 176. 243. 258.

Θρασύβουλος Xenocratis fil. Agrigentinus P. VI. VI 15. 44. I. II. II 1. 31. fr. 124.

Θρασύδαιος Thebanus Pythionica P. XI. XI 13. 44.

Θράσυκλος Argivus N. X 39.

Θρηΐκιοι ταῦροι P. IV 205.

Θυώνα Cadmi fil. P. III 99; cf. Σεμέλη.

Θῶραξ Thessalus P. X. X 64.

Ἰάλεμος fr. 139, 8.

Ἰάλυσος Rhodius, nepos Solis et Rhodi nymphae O. VII 74.

Ἴαμος vates, filius Apollinis et Euadnae O. VI 43 — Ἰαμίδαι O. VI 71.

Ἰαπετιονὶς φύτλα O. IX 55.

Ἰάσων Aesonis fil. P. IV 12. 119. 128. 136. 169. 189. 232. N. III 54. fr. 172, 4.

Ἰδαῖον ἄντρον O. V 18.

Ἴδας Apharei fil. Messenius N. X 60. 71.

Ἱέρων Syracusanus Olympionica et Pythionica O. I. P. I. II. III. O. I 110. VI 93. P. I 32. 56. 62. II 5. III 80; rex Aetnae urbis indeque Syracusarum O. I 11. 23. 117. P. I 48. 60. 68. II 14. III 70. schol. P. III inscr.; sacerdos Cereris O. VI 93. P. II 17 ss. fr. 105.

Ἴλας alipta Agesidami O. X 17.

Ἰλιάδας Aiax Oilei fil. O. IX 112.

Ἴλιος O. VIII 32. N. VII 35.

Ἶλος Trois filius N. VII 30.

Ἱμέρα urbs Siciliae prope Himeram fluvium O. XII 2.

Ἱμέρας fluvius Siciliae P. I 79.

Ἰνώ Cadmi filia O. II 33. P. XI 2.

Ἰξίων P. II 21.

Ἰόλαος Iphiclis fil. O. IX 99. P. IX 79. XI 60. N. III 37. I. I 16. VII 9. fr. 114; ἱπποσόας Ἰολ. I. V 32.

Ἰονία θάλασσα P. III 68. N. IV 53. VII 65.

Ἵππαρις fluvius Siciliae prope Camarinam urbem O. V 12.

Ἱπποδάμεια Oenomai fil. O. I 72. IX 10.

Ἱπποκλέας Phriciae fil. Pelinnaeus Pythionica P. X. X 5. 57.

Ἱππολύτα Crethei fil., uxor Acasti N. IV 57. V 26.

Ἴρασα urbs Libyae P. IX 106.

Ἰσθμός Corinthius O. II 55. VII 81. VIII 48. XII 18. XIII 98. P. VII 13. VIII 37. N. IV 75. V 32. 37. VI 19. X 26. I. I 9. 32. III 11. V 17. VI 5. 61. VII 21. fr. 122, 10; Ἰσθ. ζαθέα I. I 32 — Ἴσθμιος O. IX 84. XIII 4. I. II 13. VIII 63.

Ἰσμηνός fluvius Boeotiae N. IX 22. XI 36. fr. 29, 1 — Ἰσμήνειον P. XI 6.

Ἴστρος fluvius O. III 14. VIII 47 — Ἰστρία γαῖα O. III 26.

Ἴσχυς Elati fil., amasius Coronidis P. III 31.

Ἰφιγένεια Agamemnonis filia P. XI 22.

Ἰφικλέης filius Amphitryonis et Alcmenae P. IX 88. I. I 30 — Ἰφικλείδας P. XI 60.

*Ἰφιμέδεια* uxor Aloei P. IV 89.
*Ἰφίων* Aegineta O. VIII 81.
*Ἰωλκός* (*Ἰαολκός* N. IV 58) urbs Thessaliae P. IV 77. 188. N. III 34. IV 53. I. VIII 40.

*Κάδμος* Agenoris fil., conditor Thebarum O. II 25. 86. P. III 88. VIII 47. XI 1. I. I 11. VI 75. fr. 29, 2. 32. 272 — *Καδμεῖοι* Thebani P. IX 83. N. I 51. IV 21. VIII 52; *Καδμεῖαι* I. III 71. fr. 75, 12.
*Κάικος* fluvius Mysiae I. V 42.
*Καινεύς* Lapitha fr. 167.
*Κάλαϊς* Boreae fil. P. IV 182; cf. *Βορέας*.
*Καλλιάναξ* ex maioribus Diagorae Rhodii O. VII 93.
*Καλλίας* Aegineta N. VI 36.
*Καλλικλῆς* Aegineta N. IV 80.
*Καλλίμαχος* Aegineta O. VIII 82.
*Καλλιόπα* Musa O. X 14.
*Καλλίστα* insula Thera P. IV 258.
*Καμάρινα* urbs Siciliae O. IV 13; nympha lacus prope urbem cognominem O. V 4.
*Κάμειρος* Rhodius O. VII 73.
*Καρνειάδας* Cyrenaeus P. IX 71.
*Καρνήιος Ἀπόλλων* P. V 79.
*Κάρρωτος* Alexibiae fil. Cyrenaeus auriga P. V 26. 45.
*Κασσάνδρα* Priami fil. P. XI 20.
*Κασταλία* fons Delphicus O. VII 17. IX 17. P. I 39. IV 163. V 31. N. VI 37. XI 24.
*Κάστωρ* frater Pollucis P. XI 61. N. X 49. 59. 90. I. V 33; *χρυσάρματος Κάστωρ* P. V 9 — *Καστόρειον μέλος* P. II 69. I. I 16.
*Καφισός* fluvius Boeotiae P. IV 46 — *Καφισίς* palus fr. 198, nympha P. XII 27 — *Καφίσιος* O. XIV 1.
*Κένταυρος* Ixionis et Nephelae fil. P. II 44; Chiron Magnes P. III 45. IV 103. IX 38; *Κρονίδας Κενт.* N. III 48; *Φὴρ ἀγρότερος* P. III 4.
*Κέρβερος* fr. 249.
*Κέως* insula I. I 8.
*Κηληδόνες* (v. l. *Κηλημόνες*) cantrices Delphicae fr. 53.
*Κῆρες* Parcae fr. 277.
*Κιθαιρών* mons P. I 77.
*Κίλιξ* Typho P. VIII 16 — *Κιλίκιον ἄντρον* P. I 17.
*Κινύρας* rex Cypri P. II 15. N. VIII 18.
*Κίρρα* urbs prope Delphos P. III 74. VII 16. VIII 19. X 15. XI 12 — *Κρίσα* I. II 18 — *Κρισαῖος* P. V 37. VI 18.
*Κλέανδρος* Aegineta Isthmionica I. VIII. VIII 1. 66.
*Κλειτόμαχος* Aegineta P. VIII 37.
*Κλείτωρ* urbs Arcadiae N. X 47.
*Κλεόδαμος* Orchomenius O. XIV 20.
*Κλεοδίκη* mater Pindari vit. Pind. A.
*Κλεόνικος* Aegineta I. V 55. VI 16.
*Κλεώ* (v. l. *Κλειώ*) Musa *εὔθρονος* N. III 83.
*Κλεωναί* urbs Argolica O. X 30 — *Κλεωναῖος* N. IV 17. X 42.
*Κλεώνυμος* Thebanus I. III 15 — *Κλεωνυμίδαι* I. III 22.
*Κλύμενος* Argonauta O. IV 21.
*Κλυταιμνήστρα* uxor Agamemnonis P. XI 17.
*Κλωθώ* Parca O. I 26; *Κλ. ὑψίθρονος* I. VI 17.
*Κνωσία πάτρα* Cretensis O. XII 16.
*Κοιογενής* Latona fr. 88.
*Κοιρανίδας* Polyidus O. XIII 75.
*Κολοφώνιος ἀνήρ*, Polymnastus fr. 188.

*Κόλχοι* P. IV 11. 212. fr. 172, 5.
*Κόρινθος* O. VIII 52. IX 86. XIII 4. 52. N. VII 105. X 42. I. III 38. fr. 122, 2 — *Κόρινθος ἀφνειός* fr. 122, 2, *ὀλβία* O. XIII 4; *Διὸς Κόρινθος* N. VII 105 — *Κορίνθιος* N. II 20. IV 88; *παῖδες Ἀλάτα* O. XIII 14; eos *Κρεοντίδας* dictos esse putavit Rauchenstein ad N. VI 40.
*Κορωνίς* Phlegyae filia ab Apolline amata P. III 25 88.
*Κρείοισα* nympha P. IX 16.
*Κρειοντίς* Creontis filia Megara I. III 82.
*Κρεοντίδας* Aegineta N. VI 40.
*Κρηθεύς* Aeoli fil. P. IV 142. — *Κρηθεΐς* Crethei filia Hippolyta N. V 26 — *Κρηθεΐδας* Crethei fil. Aeson P. IV 152.
*Κρής* Cretensis P. V 41 — *Κρήτα* insula fr. 154.
*Κρίσα* et *Κρισαῖος* v. *Κίρρα*.
*Κροῖσος* rex Lydorum P. I 94.
*Κρόνος* Urani filius, cuius collis Olympico campo impendebat, O. I 10. II 77. IV 6. VII 67. VIII 17. X 50. P. II 39. III 4. 94. N. V 7. XI 25. I. I 52; *Κρόνος Οὐρανίδας* P. III 4; *πόσις Ῥέας* O. II 85 — *Κρονίων* (ῑ) Iupiter P. I 71. III 57. IV 23. N. I 16. IX 19. 28. X 76; *Κρόνιος παῖς* O. II 13; cf. *Ζεύς* — *Κρονίδας* Iupiter O. VIII 43. P. IV 171. VI 23. N. I 72. IV 9. I. II 23; *καρτεροβρόντας Κρονίδας* fr. 155; *στεροπᾶν κεραυνῶν τε πρύτανις* P. VI 23 — *Νεῖλος Κρονίδας* (?) P. IV 56 — *Χείρων Κρονίδας* P. IV 115. III 4. N. III 47 — *Ποσειδάων* Κρόνιος O. VI 29 — *Κρονίδαι* O. IX 56. P. II 25. V 118. I. VIII 45 — *Κρόνιος Πέλοψ* (?) O. III 23 — *Κρόνιος λόφος* (*ὄχθος*) O. V 17. IX 3 — *Κρόνιον* sc. *ὄρος* O. I 114. III 23. VI 64. N. VI 61 — *Κρόνου τύρσις* O. II 77.
*Κτέατος* Molionides, frater Euryti O. X 27.
*Κυβέλα* *μᾶτερ θεῶν* fr. 80; *Μάτηρ* P. III 78. fr. 95, 2.
*Κυκλώπια πρόθυρα* fr. 169, 6.
*Κύκνος* Neptuni fil. O. II 90. I. V 39 — *Κύκνεια μάχα* O. X 15.
*Κυλλάνα*, mons Arcadiae O. VI 77.
*Κύμα*, urbs Campaniae P. I 18. 72.
*Κύπρος* insula N. IV 6. VIII 18. fr. 122, 14 — *Κύπρις* Venus fr. 217 — *Κυπρία* Venus O. I 77. N. VIII 7 — *Κυπρογένεια* P. IV 216, *Κυπρογενής* O. X 105, *Κύπρου δέσποινα* fr. 122, 18 — *Κύπρια* scil. *ἔπη* fr. 265 — *Κύπριοι* P. II 16.
*Κυράνα* urbs Libyae P. IV 2. 62. 276. 279. V 24. 62. IX 73; dea urbis P. V 81, *χρυσόθρονος* P. IV 261, *διώξιππος* P. IX 4, *εὐώλενος* P. IX 18.
*Κῶς* insula fr. 51.

*Λαβδακίδαι* a Labdaco Thebano orti I. III 17.
*Λακεδαίμων* P. IV 49. V 69. X 1. I. I 17 — *Λακεδαιμόνιοι* P. IV 257. I. VII 14 — *Λάκων* P. XI 16, *Λάκαινα ἀγέλα* fr. 106. 112 — Lacedaemoniorum virtutes fr. 199.
*Λακέρεια* urbs Thessaliae P. III 34.
*Λᾶμνος* insula P. I 52 — *Λάμνιαι γυναῖκες* P. IV 252, *Λαμνιάδες γυναῖκες* O. IV 20.

*Λαμπρόμαχος* Opuntius O. ix 84.
*Λαοί* O. ix 46.
*Λάμπων* Aegineta N. v 4. I. v 21. vi 3. 66.
*Λαομέδων* pater Priami N. iii 36 — *Λαομεδόντειος* I. vi 29.
*Λᾷος* pater Oedipi O. ii 42.
*Λαπίθαι* P. ix 14.
*Λατώ* Latona O. iii 26. viii 31. N. vi 37. ix 4. fr. 87. 89. 117. 139; *βαθύζωνος Λατώ* fr. 89 — *Κοιογενής* fr. 88 — *Λατοΐδας* (*Λατοίδας*) Apollo P. i 12. iii 67. iv 259. ix 5. N. ix 53 — *Λατοΐδαι* Apollo et Diana P. iv 3; cf. N. ix 4.
*Λάχεσις* Parca O. vii 64.
*Λερναία ἀκτά* O. vii 33.
*Λέσβιος Τέρπανδρος* fr. 125.
*Λευκὰ* (*φαεννὰ*) *νᾶσος* Achillis N. iv 49.
*Λευκοθέα* Cadmi filia P. xi 2.
*Λήδα* uxor Tyndarei, mater Dioscurorum O. iii 35. P. iv 172. N. x 66.
*Λιβύα* terra P. iv 6. 43. 259. v 52. ix 69. I. iii 72; dea P. ix 55. 69 — *Λίβυς* P. ix 117; *Λίβυσσα* P. ix 105.
*Λικύμνιος* Electryonis fil. O. vii 29. x 65.
*Λίνδος* Rhodius O. vii 73.
*Λίνος* fr. 139, 5.
*Λοκρός* O. ix 20. 60. x 13. 98. xi 15; *Λοκροὶ Ζεφύριοι* (*Ἐπιζεφ.*) O. x 13. xi 15. P. ii 19 — *Λοκρίς* P. ii 19 — Locri ab Anaxilai minis liberantur P. ii 18; Locri feminas in honore habent P. ii 19 — Locri poetae O. xi 18.
*Λοξίας* v. *Ἀπόλλων*.
*Λυγκεύς* frater Idae N. x 12. 61. 70.
*Λυδός* O. i 24. ix 9. xiv 15. fr. 125, 2 — *Λύδιοι αὐλοί* O. v 19; *Λυδός* (codd. *Λύδιος*) *τρόπος* O. xiv 15; *Λυδία ἁρμονία* N. iv 45; *Λυδία μίτρα* N. viii 15; *Λύδιον ἅρμα* fr. 206.
*Λύκαιος Ζεύς* O. ix 96; *Λύκαιον* scil. *ὄρος* O. xiii 88. N. x 48.
*Λυκία* O. xiii 60 — *Λύκιοι* N. iii 60; *Λύκιος Φοῖβος* P. i 39; *Λύκιος Σαρπηδών* P. iii 112.

*Μάγνης* P. iv 80; *Μάγνης Κένταυρος* Chiron P. iii 45; *Μαγνήτων σκοπός* Acastus N. v 27 — *Μαγνήτιδες ἵπποι* P. ii 45.
*Μαινάλιαι δειραί* Arcadiae O. ix 59.
*Μαλεάγονος Σιληνός* fr. 156.
*Μαντινέα* urbs Arcadiae O. x 70.
*Μαραθών*, cuius urbis ludi nobiles erant O. ix 89. xiii 110. P. viii 79.
*Μεγάκλεια* uxor Pindari Vit. Pind. A.
*Μεγακλέης* Atheniensis Pythionica P. vii. vii 17.
*Μεγάρα* Creontis Thebani filia I. iii 82.
*Μέγαρα* urbs, cuius ludi florebant O. vii 86. xiii 109. P. viii 78. N. iii 84.
*Μέγας* Aegineta N. viii 16. 44.
*Μέδοισα* Gorgo a Perseo interfecta P. xii 16; *Μέδοισα Γοργών* N. x 4.
*Μέλαμπος* Amythaonis fil. P. iv 126.
*Μελάνιππος* Thebanus N. xi 37.
*Μελέαγρος* Oenei fil. I. vii 32. fr. 249.
*Μελησίας* Atheniensis alipta O. viii 54. N. iv 93. vi 65.
*Μελία* Thebana amata Apollinis P. xi 4. fr. 29.
Μελικέρτας Inus fil. fr. 5, 3

*Μέλισσος* Thebanus Isthmionica I. III. III 9. 20. 62.
*Μέμνων* Aethiops P. VI 32. N. III 63. VI 50. I. V 41. VIII 54; *Ἀοῦς παῖς* O. II 91. N. VI 52.
*Μένανδρος* Atheniensis alipta N. V 48.
*Μένδης* Aegyptius fr. 201.
*Μενέλας* frater Agamemnonis N. VII 28.
*Μενοίτιος* pater Patrocli O. IX 70.
*Μέροπες* ab Hercule et Telamone fusi N. IV 26. I. VI 31. fr. 50.
*Μεσσάνα* Messene P. IV 126 — *Μεσσάνιος γέρων* Nestor P. VI 35.
*Μετώπα* Ladonis Arcadici filia, mater Thebae O. VI 84.
*Μήδεια* Aeetis filia, uxor Iasonis O. XIII 53. P. IV 9. 57. 218. 250. fr. 172, 5; *Αἰήτα παῖς* P. IV 10.
*Μήδειοι* Medi tamquam a Medea orti P. I 78.
*Μήνα* luna O. III 20.
*Μίδας* Agrigentinus tibicen Pythionica P. XII. XII 5.
*Μιδέα* mater Licymnii O. VII 29; urbs Argolica O. X 66.
*Μίδυλος* Aegineta fr. 190 — *Μιδυλίδαι* P. VIII 38.
*Μινύας* Neptuni fil. rex Orchomeni I. I 56 — *Μινύαι* veteres incolae Orchomeni et Iolci (Argonautae) et Lemni O. XIV 4. P. IV 69 — *Μινύεια* Orchomenus O. XIV 17.
*Μναμοσύνα* Musarum mater I. VI 75; a Musa non diversa N. VII 15.
*Μοῖρα* Parca O. II 23. 39. N. VII 57. I. VI 18; *Μοῖραι* O. VI 42. X 52. P. IV 145. N. VII 1. I. VI 18. fr. 30, 3. 41; *Μοῖραι* cum Ilithyia coniunctae O. VI 42. N. VII 1; *Μοῖραι βαθύφρονες* N. VII 1.
*Μοῖσα* O. I 115. III 4. X 3. XIII 22. P. I 58. IV 3. X 37. XI 41. N. I 12. III 1. VI 28. VII 77. I. II 6. VI 57. VIII 5. fr. 150. 151; *Μοῖσαι* O. VI 21. 91. VII 7. IX 5. 81. XI 17. XIII 96. P. I 2. 12. III 90. IV 67. V 114. N. IV 3. V 23. VII 12. IX 1. 55. X 26. I. II 2. III 61. VII 23. fr. 1, 8. 155. 198. 287; *κόραι Μναμοσύνας* I. VI 75; *κόραι Διός* O. X 96; metonymice P. IV 279. V 65. 114. N. III 28. fr. 199 — *Μοῖσ. ἀγλαόθρονοι* O. XIII 96, *ἀδύπνοος* O. XIII 22, *ἀργύρεαι* fr. 287, *βαθύζωνοι* I. VI 74, *βαθύκολποι* P. I 12, *ἑκατάβολοι* O. IX 5, *ἠύκομοι* VI 91, *ἰοπλόκαμοι* P. I 2, *ἰόπλοκοι* I. VII 23, *μελίφθογγοι* O. VI 21; cf. I. II 7; *πότνια* N. III 1, *φιλοκερδής* I. II 6, *χρυσέα* I. VIII 5, *χρυσάμπυκες* P. III 90. I. II 2 — *Μοισᾶν χορός* N. V 23 — *Μοισᾶν θύγατρες ἀοιδαί* N. IV 3 — *Μοισαῖος* N. VIII 47. I. VI 2. VIII 62 — *Μοισαγέτας* fr. 116. Cf. *Πιερίδες*, *Ἑλικωνιάδες*, *Χάριτες*.
*Μολίονες* Cteatus et Eurytus, Moliones et Neptuni vel Actoris filii O. X 34.
*Μολοσσία* regio Epiri N. VII 38.
*Μόψος* vates Argonautarum P. IV 191.
*Μυκῆναι* urbs P. IV 49 — *Μυκηναῖοι* fr. 202.
*Μυρμιδόνες* prisci incolae Aeginae N. III 13.
*Μυρτῷος θάλασσα* fr. 51.
Μύσιον πεδίον I. VIII 49.

*Ναΐς* nympha P. IX 16. fr. 156.
*Νάξος* insula P. IV 88. fr. 71. — *Νάξιος Τίσανδρος* fr. 23.
*Ναξία ἀκόνα*, ab oppido cognomine Cretae proveniens I. VI 73.
*Νεῖλος* fluvius Aegypti P. IV 56. I. II 42. VI 23. fr. 201.
*Νεμέα* locus agri Argivi inter Cleonas et Phliuntem, ubi ludi Nemeaei agebantur O. VII 82. VIII 16. 56. IX 87. XIII 98. N. I 7. II 23. III 18. 84. IV 9. 75. V 44. VI 12. 20. VII 80. X 26. I. V 18. VI 3. 48. 61. VIII 4 — *Νέμεα* (*Νέμεια*) ludi O. XIII 34. N. V 5 — *Νεμεὰς ἱερομηνία* N. III 2 — *Νεμέαιος Ζεύς* N. II 4; *Νεμέαιον ἄγαλμα* N. VIII 16.
*Νέμεσις* O. VIII 86. P. X 44.
*Νεοπτόλεμος* (*Νεοπόλ.* N. VII 35) Achillis fil. N. IV 51. VII 35. 103. fr. 52; Neoptolemus Delphis occisus et antistes sacrorum constitutus N. VII 43. 46.
*Νέστωρ* rex Pyliorum P. III 112 — *Νεστόρειον ἅρμα* P. VI 32.
*Νεφέλα* mater Centauri P. II 36.
*Νηρεύς* deus, pater Thetidis O. II 32. P. III 92. N. III 57. I. VIII 43; *ἅλιος γέρων* P. IX 94 — *Νηρεΐδες* (*Νηρηΐδες*) P. XI 2. N. IV 65. V 7. 36. I. VI 6.
*Νίκα* dea P. IX 125. N. V 42. I. II 26.
*Νικάσιππος* internuntius inter Pindarum et Thrasybulum I. II 47.
*Νικεύς* (v. l. *Ἐνικεύς*) O. X 72.
*Νικοκλέης* Aegineta I. VIII 62.
*Νικόμαχος* auriga I. II 22.
*Νῖσος* Pandionis fil., rex Megarensium P. IX 91. N. V 46.
*Νομάδες* Scythae fr. 105; Libyes P. IX 123.
*Νόμιος* Apollinis et Cyrenae fil. P. IX 65.
*Νότος* ventus P. IV 203.
*Νύμφαι* O. XII 19 — *νύμφα Ῥόδος* O. VII 14; *νύμφα Κυράνα* P. IX 56; *νύμφα Ἱππολύτα* N. V 33.

*Ξάνθος* fluvius O. VIII 47.
*Ξενάρκης* Aegineta P. VIII 72 — *Ξενάρκειος υἱός* Aristomenes P. VIII 19.
*Ξενοκράτης* (*Ξεινοκρ.*) Agrigentinus, frater Theronis, pater Thrasybuli O. II 54. P. VI 6. I. II 14. 36.
*Ξενοφῶν* Thessali fil. Corinthius Olympionica O. XIII XIII 28. fr. 122. 122, 19.

*Ὀγχηστός* urbs ad Copaidem lacum sita I. III 37 — *Ὀγχήστιαι ἀϊόνες* I. I 33.
*Ὀδυσσεύς* N. VII 21. VIII 26.
*Οἴαγρος* pater Orphei fr. 139.
*Οἰδιπόδας* Oedipus P. IV 263; *Λαΐου μόριμος υἱός* O. II 42.
*Ὀϊκλέης* pater Amphiarai P. VIII 39 — *Οἰκλείδας* Amphiaraus O. VI 13. N. IX 17. X 9.
*Οἰνεύς* pater Meleagri fr. 249 — *Οἰνεΐδαι* I. V 31.
*Οἰνόμαος* rex Pisae, pater Hippodamiae O. I 78. 91. V 9. X 51.
*Οἰνοπία*, vetus nomen Aeginae I. VIII 21.
*Οἰνώνα*, vetus nomen Aeginae N. IV 46. V 16. VIII 7. I. V 31.
*Οἰωνός* Licymnii fil. O. X 66.
*Ὀλιγαιθίδαι*, gens Corinthia O. XIII 97.
*Ὄλυμπος* (*Οὔλυμπος*) mons Thessaliae, deorum et in-

primis Iovis sedes O. I 55. II 13. III 36. XIII 92. P. IV 214. XI 64. N. I 13. X 17. 84. I. III 73. fr. 30, 4. 36. 87, 4 — *Ὀλύμπιος ἀγεμών* O. IX 57, *πατήρ* O. XIV 11, *Ζεύς* fr. 90. I. II 27. VI 8, *βωμός* O. X 101; *Ὀλύμπιοι* fr. 75, 1 — *Ὀλυμπιὰς νίκα* P. VII 15; *Ὀλυμπιάδες ἐλαιαί* N. I 17; *Ὀλυμπιάς* scil. *ἑορτὰ πενταετηρίς* O. I 97. II 3. X 16. 58. N. VI 63. I. I 65; *Ὀλυμπιάδες* deae P. XI 1 — *Ὀλυμπία* locus Elidis ubi ludi Olympici agebantur O. I 7. II 53. III 15. O. V 2. VI 26. VII 10. VIII 1. 83. IX 2. XII 17. XIII 25. 101. P. V 124. VIII 36. XI 47. N. IV 75. XI 23; cf. *Πίσα* — *Ὀλύμπια*, ludi Olympii Cyrenarum P. IX 101 — *Ὀλυμπιονίκας* O. III 3. IV 9. VI 4. VII 88. VIII 18. X 1. XI 7. P. X 13; *Ὀλυμπιόνικος* O. V 21. XIV 17. N. VI 17; *τρισολυμπιονίκας* O. XIII 1.
*Ὅμηρος* poeta P. IV 277. N. VII 21. I. III 55. fr. 264. 265; *Ὅμηρ. Σμυρναῖος* fr. 204 — *Ὁμηρίδαι* N. II 1.
*Ὁμόλη* mons Thessaliae fr. 113.
*Ὀπόεις* rex Elidis O. IX 58; urbs Locrica O. IX 14.
*Ὀρέστας* Agamemnonis fil. P. XI 16. N. XI 34.
*Ὀρθωσία* v. *Ἄρτεμις*.
*Ὀρσέας* alipta I. III 90.
*Ὀρσοτρίαινα* v. *Ποσειδάων*.
*Ὀρτυγία*, insula Syracusana O. VI 92. P. II 6. N. I 2.
*Ὀρφεύς* Oiagri fil. poeta P. IV 177. fr. 139, 10.
*Ὀρχομενός* urbs Minyea Boeotiae O. XIV 4. I. I 35.
*Οὐλίας* Argivus N. X 24.
*Οὐρανός* O. VII 38 — *Οὐρανίδας* P. III 4; *Οὐρανίδαι* P. II 38. IV 194.

*Πάγασος* equus e Gorgone natus O. XIII 64. I. VII 44. fr. 317.
*Πάγγαιον*, iugum montis in confiniis Thraciae et Macedoniae prope Amphipolin, sedes Boreae P. IV 180.
*Παγώνδας* pater Pindari Vit. Pind. A.
*Παιάν* Apollo P. IV 270 — *παιανίδες ἀοιδαί* fr. 139, 2.
*Πάλιον*, mons Thessaliae P. II 45. III 4. IX 5. N. IV 54. V 22.
*Παλλάς* dea O. II 29. V 10. XIII 66. P. XII 7; *Παλλάδος τελεταί* P. IX 98; cf. *Ἀθάνα*.
*Παμφάης* Argivus N. X 49.
*Πάμφυλος* Aegimii fil. P. I 62.
*Πάν* deus P. III 78. fr. 95. 99. 100.
*Πανέλλανες* I. II 38. III 47.
*Παρνασός* (*Παρνασσός*) mons Delphicus O. IX 43. P. I 39. XI 36. N. II 19 — *Παρνάσιος* O. XIII 106. P. V 41. X 8 — *Παρνασὶς κοία* P. VIII 20.
*Παρράσιος στρατός* Arcadiae O. IX 95.
*Πάτροκλος* amicus Achillis O. IX 75. X 19.
*Πειθώ* dea P. IV 219. IX 39 fr. 122, 2. 123, 10.
*Πειράνα* fons Acrocorinthi O. XIII 61.
*Πειρίθοος* amicus Thesei fr. 175. 243. 258.
*Πείσανδρος* Achaeus N. XI 33.
*Πελειάδες* Vergiliae ab Orione fugatae N. II 11; *πελειάδες Λιβύης Ἄμμωνος καὶ Δωδώνης* fr. 68.
*Πελίας* Tyrus fil. P. IV 71. 94. 109. 134. 156. 250. N. IV 60; Τυροῦς γενεά P. IV 136; καὶς

*Ποσειδᾶνος Πετραίου* P. iv 138.
*Πελινναῖον* oppidum Thessaliae P. x 4.
*Πέλλανα* urbs Achaica, ubi ludi agebantur O. vii 86. ix 98. xiii 109. N. x 44.
*Πέλοψ* Tantali fil. O. i 24. 98. iii 23. v 9. ix 9. x 24. N. ii 21 — *Πέλοψ Κρόνιος* O. iii 23 — *Πελοπηιάδαι* N. viii 12 — *Πέλοπος ἀποικία* Pisa O. i 24 — *Πέλοπος πύλαι* N. ii 21.
*Πέργαμος*, Troia O. viii 42 — *Περγαμία* I. vi 31.
*Περικλύμενος* Nelei filius P. iv 175. N. ix 26.
*Περσεύς* Iovis et Danaae fil. P. x 31. xii 11. N. x 4. I. v 33. fr. 164.
*Περσεφόνη* v. *Φερσεφόνη*.
*Πετραῖος Ποσειδᾶν* P. iv 138.
*Πηλεύς* Aeaci fil. O. ii 86. P. iii 87. viii 100. N. iii 33. iv 56. v 26. I. vi 25. viii 38. fr. 48. 172 — *Πηλεΐδας* Achilles P. vi 23. Conf. *Αἰακίδας*.
*Πηνειός*, fluvius Thessaliae P. ix 16. x 56.
*Πηνελόπη* mater Panis dei fr. 100.
*Πιερίδες* Musae Pieriam incolentes O. x 96. P. i 14. vi 49. x. 65. N. vi 32. I. i 65. fr. 90.
*Πίνδος* mons P. i 66. ix 15.
*Πίσα* urbs Elidis prope Olympiam, unde Olympiam ipsam significat, O. i 18. ii 3. iii 9. vi 5. viii 9. x 43. xiii 29. xiv 21. N. x 32 — *Πισάτας* O. i 72. ix 68 — *Πισᾶτις ἐλαία* O. iv 12.
*Πιτάνα* prope Eurotam O. vi 28.
*Πληιόνα* Oceani filia fr. 74.
*Πλούτων* O. ii 71.
*Ποίας* pater Philoctetae P. i 53.
*Πολυδέκτας* rex Seriphiorum P. xii 14.
*Πολυδεύκης* Iovis et Ledae fil., Castoris frater P. xi 62. N. x 50. 59. 68. I. v 33.
*Πολυΐδος* v. *Κοιρανίδας*.
*Πολύμναστος* pater Batti P. iv 59; poeta Colophonius fr. 188.
*Πολυνείκης* Oedipodis fil. O. ii 47.
*Πολυτιμίδας* Aegineta N. vi 62.
*Πορφυρίων* rex Gigantum P. viii 12.
*Ποσειδάων* (*Ποσειδῶν*, *Ποτειδᾶν*) O. i 77. viii 31. ix 31. xiii 5. 40. P. iv 204. N. v 37. I. i 32. ii 14. iii 72. fr. 243 — *Ποσ. Ἴσθμιος* O. xiii 4, *Πετραῖος* P. iv 138, *Κρόνιος* O. vi 29. I. i 52 — *Ποσ. ἀγλαός* I. viii 27, *βαρύκτυπος* O. i 74, *γαιάοχος* O. i 25. P. iv 33, *ἐλασίχθων* fr. 18, *ἐλελίχθων* P. vi 50, *ἐνάλιος* P. iv 204, *ἐννοσίγαιος* fr. 18, *εὐρυβίας* O. vi 58, *εὐρυμέδων* O. viii 31, *ἵππαρχος* P. iv 45, *κλυτόπωλος* fr. 243, *μεγασθενής* O. i 25, *δέσποτα ποντόμεδον* O. vi 103; *σεισίχθων υἱὸς Κρόνου* I. i 52 — *Ἀγλαοτρίαινα* O. i 41; *Γαιάοχος* O. xiii 81. P. iv 33. I. vii 38; *Δάμαιος πατήρ* O. xiii 69; *Ἐλελίχθων* P. vi 51; *Ἐννοσίδας* P. iv 33; *Εὐτρίαινα* O. i 75; *Ὀρσοτρίαινα* O. viii 48. N. iv 86 — *πόσις Ἀμφιτρίτας* O. vi 105. N. v 37; Aegis templum habet N. v 37 — *Ποσειδάνιος* O. v 21. x 26. N. vi 41.
*Πραξιδάμας* Aegineta N. vi 15.
*Πρίαμος* rex Troiae P. x 51. xi 19. N. vii 35.

*Προῖτος* rex Argorum N. x 41.
*Πρόφασις* filia Epimethei P. v 28.
*Πρωτεσίλας* rex Phylacae, cui ludi instituti erant I. I 58.
*Πρωτογένεια* Deucalionis fil. O. IX 41.
*Πρωτομάχη* Pindari filia Vit. Pind.
*Πτοιόδωρος* pater Thessali Corinthii O. XIII 41.
*Πτώιον*, mons Boeotiae fr. 101.
*Πυθέας* Aegineta N. v. v 4. 43. I. v 19. 59. VI 58.
*Πύθιος Ἀπόλλων*, v. *Πυθώ* et *Ἀπόλλων*.
*Πυθόνικος* Thebanus P. XI 43.
*Πυθώ* (voc. *Πυθοῖ*, adv. *Πυθοῖ*, *Πυθῶθεν*) spelunca Delphica indeque urbs ipsa, in qua ludi Pythii agebantur O. VII 10. XIII 37. P. IV 66. X 4. XI 49. I. I 65. VII 51, *χρυσέα κλυτόμαντι Πυθοῖ* fr. 90, 2 — *Πυθών* (unde gen. dat. acc. nominis declinantur et *Πυθωνάδε*, *Πυθωνόθεν*) O. II 43. 54. VI 37. 48. IX 12. XII 18. P. III 27. IV 3. V 105. VII 11. VIII 63. IX 71. XI 9. XII 5. N. VI 35. IX 5. X 25. XI 23 — *Πύθιος* O. XIV 10 (codd. *Πυθῷος*) P. III 73. IV 55. X 26. N. II 9. III 70. VII 34. I. VII 15; *Πυθῶνος αἰπεινᾶς* N. IX 3 — *Πυθιάς* sc. *ἑορτά*, ludi Pythici P. I 32. V 21. VIII 84 — *Πυθιόνικος* P. VI 5. VIII 5; *Πυθιονίκας* P. IX 1.
*Πυλάδας* Strophii fil., amicus Orestae P. XI 15.
*Πύλος* urbs Messeniae O. IX 31. P. IV 174; *Πύλος ζαθέα* P. V 70.
*Πύρρα* uxor Deucalionis O. IX 43.
*Ῥαδάμανθυς* iudex apud inferos O. II 83. P. II 73.
*Ῥέα* uxor Saturni O. II 85. N. XI 1. fr. 144; *Ῥέας πόρος* N. IX 41.
*Ῥῆσος* rex Thracum fr. 262.
*Ῥόδος* insula O. VII 56. fr. 119; *Ἀελίοιο νύμφα* O. VII 14. 71.
*Ῥοῖκος* fr. 252.

*Σακάδας* tibicen Argivus fr. 269.
*Σαλαμίς* insula P. I 76. N. II 13. IV 48. I. V 49.
*Σαλμωνεύς* Aeoli fil. P. IV 143.
*Σᾶμος* Mantineensis O. X 70.
*Σαρπηδών* rex Lyciorum P. III 112.
*Σεμέλα* Cadmi filia O. II 28. P. XI 1. fr. 75, 14. 21; eadem *Θυώνα* audit P. III 99.
*Σέριφος* insula P. XII 12.
*Σικελία* insula O. I 13. II 10. P. I 19. N. I 15. fr. 106, 5; *Σικ. πολύμηλος* (codd. *πολύμαλος*) O. I 13, *ἀριστεύοισα πολυκάρπου χθονός* N. I 15.
*Σικυών* urbs, ubi Pythici ludi agebantur O. XIII 109. N. IX 1. 53. X 43. I. III 44; argenteae phialae mercedi ibi dabantur N. IX 51.
*Σιληνός* educator Bacchi fr. 156.
*Σίπυλος* urbs sub monte cognomine O. I 39.
*Σίσυφος* Aeoli fil., rex Corinthi O. XIII 52. fr. 5.
*Σκάμανδρος* fluvius Troiadis N. IX 39.
*Σκοπάδαι* Thessali fr. 255.
*Σκοπελῖνος* avunculus Pindari vit. Pind. A.
*Σκοτίος* fr. 319.
*Σκύθαι* fr. 105, 3. 203.
Σκῦρος insula N. VII 37 — *Σκύριαι* αἶγες fr. 106, 3.

*Σμυρναῖος Ὅμηρος* fr. 204.
*Σόλυμοι* O. xiii 90.
*Σπάρτα* urbs P. i 77. v 73. N. viii 12. x 52. xi 34.
*Σπαρτοί* Thebani e draconis a Cadmo necati dentibus nati P. ix 82. I. i 30. vii 10.
*Στράτων* (lect. dub.) fr. 105.
*Στρεψιάδας* Thebanus Isthmionica I. vii. vii 21; *Διοδότοιο παῖς* I. vii 31.
*Στρόφιος* pater Pyladis P. xi 35.
*Στυμφάλια τείχεα* Arcadiae O. vi 99 — *Στυμφαλὶς Μετώπα* O. vi 84.
*Συράκοσσαι* (v. l. *Συράκοσαι*) urbs Siciliae O. vi 6. 92. P. ii 1. iii 70. N. i 2 — *Συρακόσιος* O. i 23. vi 18. P. i 73.
*Σύριος* fr. 173.
*Σωγένης* Aegineta Nemeonica N. vii. vii 8. 70. 91.
*Σωκλείδας* Aegineta N. vi 21.
*Σώστρατος* Syracusanus, pater Agesiae O. vi 9. 80.

*Ταίναρος*, promontorium Lacedaemonium P. iv 44. 174.
*Ταλαός* Biantis fil., pater Adrasti N. ix 14 — *Ταλαϊονίδας* Adrastus O. vi 15.
*Τάναγρα* (*Τεγύρα* ex coni.) urbs Boeotiae fr. 286.
*Τάνταλος* pater Pelopis O. i 37. 56. I. viii 10.
*Τάρταρος* P. i 15. fr. 207.
*Ταυγέτα* Atlantis filia, amata Iovis O. iii 29.
*Ταΰγετος* mons Laconiae P. i 64. N. x 61. fr. 106.
*Τεγέα* urbs Arcadiae O. x 66. N. x 47.
*Τεγύρα* v. *Τάναγρα*.
*Τειρεσίας* vates Thebanus N. i 61. I. vii 8.
*Τελαμών* Aeaci fil. P. viii 100. N. iii 37. iv 25. viii 23. I. vi 40. 52 — *Τελαμωνιάδας* Aiax I. vi 26, Teucer N. iv 47.
*Τελέσαρχος* Aegineta I. viii 3.
*Τελεσιάδας* Thebanus I. iii 63.
*Τελεσικράτης* Cyrenaeus Pythionica P. ix 3. 100.
*Τένεδος* insula N. xi 5. fr. 123, 10.
*Τέρπανδρος* poeta fr. 125. 268.
*Τερψίας* Corinthius O. xiii 42.
*Τερψιχόρα* Musa I. ii 7.
*Τεύθρας* rex Mysiae O. ix 71.
*Τεῦκρος* Telamonis fil. N. iv 46.
*Τηλεβόαι* incolae Acarnaniae N. x 15.
*Τήλεφος* rex Mysiae O. ix 73. I. v 41. viii 50.
*Τήνερος* Apollinis fil. fr. 102.
*Τιλφῶσσα* fons Boeotiae fr. 198.
*Τιμάσαρχος* Aegineta Nemeonica N. iv. iv 10. 78.
*Τιμόδημος* Acharnensis Nemeonica N. ii. ii 14. 24 — *Τιμοδημίδαι* gens Acharnensis N. ii 18.
*Τιμόκριτος* Aegineta N. iv 13.
*Τιμόνοος* Acharnensis N. ii 10.
*Τιμοσθένης* Aegineta, Nemeonica O. viii 15.
*Τίρυνς* urbs Argolica O. vii 29. x 68 — *Τιρύνθιος* O. vii 78. x 31. I. vi 28.
*Τίσανδρος Νάξιος* fr. 23.
*Τιτᾶνες* a Iove soluti P. iv 291. fr. 35.
*Τιτυός* a Diana interfectus P. iv 90, pater Europae P. iv 46.
*Τλαπόλεμος* Herculis fil. O. vii 20 77.
*Τριτωνὶς λίμνα* Africae P. iv 20.
*Τροΐα* (*Τρωΐα* O. ii 89. I. iii 54) O. ii 89. N. ii 14. iii 60. iv 25. vii 41. I. iii 54. vi 28. viii 52. fr. 51 — Τρῶες P. xi 34. I. v 36; Τρῶες Ἀντανορίδαι P.

v 83 — *Τρώιος* fr. 172 — Conf. *Πέργαμος* et *Ἴλιος*.
*Τροφώνιος* aedificator templi Delphici fr. 2, 2.
*Τυνδαρίδαι* Castor et Pollux, Tyndarei filii O. III 1. 39. P. I 66. N. x 38. 73. I. I 31; *παῖδες Λήδας* O. III 35. P. IV 172. N. x 66 — Tyndaridarum sacra Agrigentina O. III 1; eadem Cyrenas Lacedaemone translata P. v 9.
*Τυρσανοί* Etrusci P. I 72.
*Τυφώς* O. IV 8. P. I 16; *Τυφὼς Κίλιξ* P. VIII 16. fr. 93.
*Τύχα σώτειρα* dea O. XII 2. fr. 38. 39. 40. 41; una Moerarum fr. 41.

*Ὕλλος* Herculis fil. fr. 1, 3 — *Ὑλλὶς στάθμα* P. I 62.
*Ὑμέναιος* fr. 139, 6.
*Ὑπερβόρεοι* O. III 16. P. x 30. I. VI 23. fr. 257; Hyperboreorum regio cum regione Gorgonum confusa P. x 45.
*Ὑπερηίς* fons prope Pheras Thessalicas P. IV 125.
*Ὑπεριονίδας* Sol O. VII 39.
*Ὑπερμνήστρα* (*Ὑπερμήστρα*) Danai fil. N. x 6.
*Ὑριεύς* pater Orionis fr. 73.
*Ὑψεύς* Penei fil., Oceani nepos, rex Lapitharum P. IX 13.
*Ὑψιπύλεια* Thoantis fil. Lemnia O. IV 25.

*Φαίδρα* uxor Thesei fr. 176.
*Φαισάνα* urbs Arcadiae O. VI 34.
*Φάλαρις* tyrannus Agrigentinorum P. I 96.
*Φᾶσις* fluvius Colchicus P. IV 211. I. II 41.
*Φερένικος* equus Hieronis O. I 18. P. III 74.
*Φέρης* Aesonis frater P. IV 125.
*Φερσεφόνα* Persephone O. XIV 19. P. XII 2. N. I 14. I. VIII 55; *λεύκιππος θυγάτηρ Δάματρος* O. VI 95; cf. fr. 37.
*Φήρ* Centaurus P. III 4. IV 119. fr. 166.
*Φθία* urbs Thessalica P. III 101. N. IV 51.
*Φιλοκτήτας* Poeantis fil. P. I 50.
*Φιλύρα* mater Chironis P. IV 103. VI 22. N. III 43 — *Φιλυρίδας* Chiron P. III 1. IX 30.
*Φίντις* auriga Agesiae O. VI 22.
*Φλέγρα* (*Φλέγραι*) isthmi Thracici N. I 67. I. VI 33.
*Φλεγύας* rex Lapitharum P. III 8.
*Φλιοῦς* urbs Argolica N. VI 44.
*Φοῖβος* v. *Ἀπόλλων*.
*Φοῖνιξ* Poenus P. I 72 — *Φοινικοστόλων ἐγχέων* N. IX 28 — Phoenix dux Dolopum fr. 183 — *Φοίνισσα ἐμπολά* P. II 67.
*Φόρκος* pater Gorgonum P. XII 13.
*Φράστωρ*, Olympionica mythicus O. x 71.
*Φρικίας* Thessalus P. x 16.
*Φρίξος* Athamantis fil. P. IV 160.
*Φρύγες* socii Troianorum N. III 60.
*Φυλάκα* urbs Phthiotica, ubi ludi agebantur I. I 59.
*Φυλακίδας* Aegineta Isthmionica I. v. VI. v 18. VI 7.
*Φῶκος* Aeaci et Psamatheae fil. N. v 12.

*Χαριάδαι* gens Aeginetica N. VIII 46.
*Χαρικλώ* uxor Chironis P. IV 103.
*Χάρις* dea O. I 31. VI 76. VII 11. fr. 123, 11 — *Χάριτες* O. II 55. IV 10. IX 27. XIV 3. 7. P. II 42. VI 2. VIII 21. XII 26. N. IV 7. V 54. VI 37. IX 54. X 1. 38. I.

v 21. vi 63. viii 16. fr. 90 — *Χάριτες ἁγναί* O. xiv 7, *βαθύζωνοι* P. ix 3, *ζωθάλμιοι* O. vii 11, *ἠύκομοι* P. v 45, *κελαδενναί* P. ix 89, *ξανθαί* N. v 54, *σεμναί* O. xiv 7 (codd.). fr. 95, 2; *Ὀρχομενοῦ βασίλειαι* O. xiv 3; filiae Iovis O. xiv 12; *Ἀγλαΐα Εὐφροσύνα Θαλία* O. xiv 12; iunctae cum Venere P. vi 2. fr. 90, 3; iunctae cum Musis N. ix 54.
*Χείρων* Centaurus Saturni et Philyrae fil. P. iii 1. 63. iv 102. 115. ix 29. N. iii 53. iv 60. I. viii 42. fr. 177, 3 — *Χείρων Κρονίδας* P. iv 115. N. iii 47, *Φιλυρίδας* P. iii 1, *βαθυμῆτα* N. iii 53, *σώφρων* P. iii 63; *Φὴρ θεῖος* P. iv 119. Conf. *Κένταυρος*, *Φιλύρα*.
*Χίμαιρα* O. xiii 90.
*Χῖος* insula, patria Homeri fr. 204.
*Χρόμιος* Syracusanus N. i 7. ix 3. 34. 52.
*Χρόνος* deus O. x 55. fr. 33; *χρόνος ὁ πάντων πατήρ* O. ii 19.
*Χρυσοκόμας* v. *Ἀπόλλων*.

*Ψαλυχιάδαι* (codd. *Ψαλυχίδαι*) gens Aeginetica I. vi 63.
*Ψαμάθεια* nympha, mater Phoci N. v 13.
*Ψαῦμις* Camarinaeus Olympionica O. iv 11. v 3. 23.

*Ὤανος* (v. l. *Ὠανίς*) fluvius prope Camarinam O. v 11.
*Ὠαρίων* Orion N. ii 11. fr. 72. 73. 74 — *φύσις Ὠαριωνεία* I. iii 67.
*Ὠκεανός* O. v 2. P. iv 26. 251. ix 14. fr. 30, 6. 249. 326 — *ὠκεανίδες αὖραι* O. ii 78.
*Ὧραι* Iovis filiae O. iv 1. xiii 17. P. ix 60. fr. 30, 6. 75, 16 — *Ὥρα πότνια*, Iuventus N. viii 1.
*Ὦτος* Iphimediae fil. P. iv 89.

OCT 5 [illegible]

OCT 6 [illegible]

Gp 75.181.2
Pindari Carmina cum deperditorum fr
Widener Library 001481564
3 2044 085 146 918